www.tezaurliturgic.ro

Δρος Χαραλάμπους Μ. Μπούσια
Μ. Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας.

# ΑΚΟΛΟΥΘΙΑ
## ΕΙΣ ΤΟΝ ΑΡΤΙΩΣ ΕΚΛΑΜΨΑΝΤΑ ΠΝΕΥΜΑΤΕΜΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΠΟΡΦΥΡΙΟΝ

Μετὰ προσθήκης Παρακλητικοῦ κανόνος,
χαιρετιστηρίων Οἴκων καὶ Ἐγκωμίων

ΑΘΗΝΑΙ 2003

www.tezaurliturgic.ro

*Α΄ ἔκδοσις, Νοέμβριος 2003*

© Ἱερὸν Γυναικεῖον Ἡσυχαστήριον Μεταμορφώσεως τοῦ Σωτῆρος, Μήλεσι Ὠρωποῦ.

*Ἡ εἰκὼν τοῦ ἐξωφύλλου ἐφιλοτεχνήθη ὑπὸ τοῦ Ἱερομονάχου Ἀμφιλοχίου Διακάκη.*

ΕΠΤΑ ΛΟΦΟΣ Ἐκδοτικὴ Παραγωγή: ΕΠΤΑΛΟΦΟΣ ΑΒΕΕ – Ἀρδηττοῦ 12-16, Μέτς 116 36 Ἀθήνα
Τηλ.: 210.921.7513 – Fax: 210.923.7033 – www.eptalofos.com.gr – e-mail: info@eptalofos.com.gr

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ

Εἶναι χαρμόσυνο τὸ γεγονὸς ὅτι ὁ διακεκριμένος ὑμνογράφος Δρ Χαραλάμπης Μ. Μπούσιας ἀποφάσισε νὰ ἐκδώσει τύποις τὴν ἀσματικὴν ἀκολουθίαν εἰς τὸν σύγχρονόν μας ὅσιον Γέροντα Πορφύριον, τὸν καυσοκαλυβίτην, τὴν ὁποίαν μὲ πολλὴν εὐλάβειαν καὶ ἀγάπην πρὸ πολλῶν ἐτῶν ἐποίησεν. Εἶχε τὴν χαρὰν νὰ γνωρίσει προσωπικῶς ζῶντα τὸν Γέροντα καὶ νὰ δεχθῇ τὴν ἐπίσκεψίν του καὶ τὴν εὐλογίαν του εἰς τὴν ἐξοχικὴν οἰκίαν του στὸν Κούτουρλα Εὐβοίας, ὅπου διατηρεῖ καὶ ναΐδριον. Μετὰ τὴν κοίμησιν τοῦ Γέροντος Πορφυρίου συνέταξε ἐκ τῶν πρώτων τὴν ἀσματικήν του ἀκολουθίαν, τὴν ὁποίαν ἐν συνεχείᾳ συνεπλήρωσε μὲ χαιρετιστηρίους οἴκους, ἐγκώμια καὶ παρακλητικὸν κανόνα. Αὐτὴν τὴν ἀκολουθίαν ἀπέστειλε ἀπὸ τότε πρὸς τὴν ἀείμνηστον πρώτην ἡγουμένην τοῦ Ἱεροῦ Γυναικείου Ἡσυχαστηρίου «Ἡ Μεταμόρφωσις τοῦ Σωτῆρος» γερόντισσαν Πορφυρίαν, γράφοντάς της ὅτι εὐχαριστεῖ τὸν Κύριον, ποὺ τὸν ἀξίωσε νὰ ἀνταποδώσει κατ' αὐτὸν τὸν τρόπον τὴν ὑποχρέωσίν του πρὸς τὸν Γέροντα Πορφύριον «τὸν φωστῆρα αὐτὸν τῆς ἐποχῆς μας». Εἶναι ἐκφραστὴς καὶ αὐτὸς τῆς κοινῆς πεποιθήσεως τοῦ πληρώματος τῆς Ὀρθοδόξου Ἐκκλησίας μας γιὰ τὴν ἀπὸ πολλοὺς μαρτυρημένη ὁσιότητα τοῦ ὁσίου Γέροντος Πορφυρίου.

Ἕνα ἀπὸ τὰ κύρια γνωρίσματα τοῦ ὁσίου Γέροντος Πορφυρίου, τὰ ὁποῖα καὶ προσέλκυσαν τὴν χάριν τοῦ Θεοῦ, εἶναι ἡ ἄκρα ταπείνωσίς του. Αὐτὸ ἐπισημαίνει ὁ ὑμνογράφος μας ἀπὸ τὰ πρῶτα τροπάρια γράφοντας, ἀπευθυνόμενος πρὸς τὸν ὅσιον Γέροντα, «μισῶν τὴν δόξαν τοῦ κόσμου καὶ πάντα ἔπαινον, ἀρτίως ἀνεδείχθης ταπεινώσεως κέρας». Τὸ ἀποτέλεσμα εἶναι ὅτι ὁ Θεὸς δοξάζει τώρα αὐτὸν ὡς καλὸν ἐργάτην τοῦ εὐαγγελίου καὶ πιστὸν δοῦλον καὶ ἀγαθὸν τόσον εἰς τὴν γῆν μεταξὺ τῶν χριστιανῶν, ὅσον καὶ εἰς τὸν οὐρανόν, ὅπου, κατὰ τὸν ὑμνογράφον καὶ τὴν συνείδησιν τῆς ἀνὰ τὸν κόσμον ὅλον Ὀρθοδόξου Ἐκκλησίας «δόξης ἔτυχε τῆς κρείττονος». Εἶναι πράγματι ἀληθινὸς ὁ λόγος τοῦ Θεοῦ ὅτι ὁ πιστὸς κερδίζει εἰς τὸ πολλα-

www.tezaurliturgic.ro

πλάσιον, χωρὶς νὰ τὸ ἐπιδιώκει, ὅλα ὅσα ἀνιδιοτελῶς καὶ ἀνυστερόβουλα θυσιάζει. Μακάρι ὅλοι νὰ καταλαβαίναμε ὅτι πηγὴ τῆς μακαριότητος εἶναι τὸ δοῦναι καὶ ὄχι τὸ λαμβάνειν. Ὅπως καὶ πηγὴ ὅλων τῶν πολέμων εἶναι «τοῦ πλούτου ἀχορταγιά, τῆς δόξας πείνα», ὅπως λέγει καὶ ὁ ποιητής.

Ὁ Γέροντας Πορφύριος ὑπῆρξε ἕνας ἄνθρωπος γεμᾶτος ἀγάπη, ἀνοιχτὸς σὲ ὅλους, ποὺ θυσιαζόταν γιὰ τὸν καθένα. Καὶ ἀπὸ ἐκεῖ ποὺ εἶναι ἐνδιαφέρεται γιὰ ὅλους μας καὶ γιὰ τὸν καθένα ἀπὸ ἐμᾶς ξεχωριστὰ ὡς νὰ εἶναι ὁ καθένας μας ἡ μοναδικὴ ἀγάπη του. Πλούσιος, πλουσιώτατος σὲ ἀγάπη, ὅπως ὁ Χριστός, τὸν ὁποῖον πρῶτα ἀπ' ὅλα ὑπεραγαποῦσε, «εἰς ὅλων τὰς ψυχὰς ἔρριπτε βάλσαμον παρηγορίας, ἐλπίδος, ἀγάπης καὶ πίστεως», ὅπως γράφει ὁ ὑμνογράφος μας Δρ Χ.Μ. Μπούσιας εἰς τὸ συνοδεῦον τὴν ἀσματικὴν ἀκολουθίαν συνοπτικὸν συναξάριον. Ζώντας μέσα στὴν ἀγάπη ἔβλεπε καθαρὰ τὸν Χριστό μας νὰ μὴ κρατάει τὴν κόλαση στὸ χέρι, νὰ μὴ μᾶς φοβερίζει, ἀλλὰ νά μᾶς καλεῖ νὰ ζήσωμε μαζί του τὴ χαρὰ τῆς χριστιανικῆς ζωῆς. Μακάρι ὅλοι νὰ διδαχθοῦμε ἀπὸ τὸ Γέροντα καὶ τὴν ἀκολουθία του αὐτή, αὐτὴν τὴν ξεχασμένη ἀλήθεια, ὅτι «ὁ Θεὸς ἀγάπη ἐστίν», ὅτι ὁ Χριστὸς εἶναι ἡ ζωὴ καὶ ὅτι τὴν χαρὰν ποὺ δίδει τίποτε δὲν τὴν ἀφαιρεῖ.

---

*9 Νοεμβρίου 2003.*
*Ἑορτὴ τοῦ Ἁγίου Νεκταρίου τοῦ θαυματουργοῦ.*

Γ.Π.Α.

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΕΙΣ ΤΟΝ ΑΡΤΙΩΣ ΕΚΛΑΜΨΑΝΤΑ ΠΝΕΥΜΑΤΕΜΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΠΟΡΦΥΡΙΟΝ

**Ψαλλομένη τῇ ΙΘ′ Νοεμβρίου / Β′ Δεκεμβρίου, ἐν ᾗ τελεῖται ἡ μνήμη αὐτοῦ.**

## ΕΝ ΤΩ͂ ΜΙΚΡΩ͂ ΕΣΠΕΡΙΝΩ͂.

**Μετὰ τὸν Προοιμιακὸν εἰς τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ′ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

***Ἦχος α′. Τῶν οὐρανίων ταγμάτων.***

Τῶν φιλεόρτων τὰ πλήθη,
δεῦτε, συνδράμωμεν,
περιχαρῶς τιμῆσαι
Πορφυρίου τὴν μνήμην·
σωφρόνως γάρ, δικαίως καὶ εὐσεβῶς
ἄρτι πέλαγος ἔπλευσε
τὸ πολυκύμαντον βίου καὶ εἰς Θεοῦ
ὅρμον ἄκλυστον κατήντησε.

Στοιχῶν ὁσίων ἀρτίως
θεοειδῆ βιοτῇ,
ἀμέμπτῳ πολιτείᾳ,
παραδόξοις σημείοις

www.tezaurliturgic.ro

διέπρεψας ἐν κόσμῳ καὶ διδαχαῖς·
ὅθεν, πάτερ Πορφύριε,
πιστῶν κατηύφρανας πλήρωμα ἐπὶ γῆς
καὶ Κυρίῳ εὐηρέστησας.

Μισῶν τὴν δόξαν τοῦ κόσμου
καὶ πάντα ἔπαινον
ἀρτίως ἀνεδείχθης
ταπεινώσεως κέρας,
Πορφύριε, πατέρων νεοφανῶν
πολυτίμητε σάπφειρε·
διὸ καὶ λάθρα βιώσας ὡς ἀληθῶς
δόξης ἔτυχες τῆς κρείττονος.

Ὡ'ς ἀπλανὴς κατευθύντωρ
πιστοὺς ὡδήγησας
πρὸς ἀφθαρσίας δόμους,
θεοφόρε λευῖτα,
Ἁγίου Ἰωάννου κώμης βλαστὲ
τῆς Εὐβοίας καὶ σέμνωμα
Ἁγίου Ὄρους, τοὺς σπεύδοντας εὐλαβῶς
τῇ σῇ χάριτι, Πορφύριε.

**Δόξα. Ἦχος πλ. δ'.**

Ὁ τοῖς ταπεινοῖς, διδοὺς χάριν, Χριστὸς ὁ Κύριος,
σὲ σκεῦος ἐκλογῆς ἀνέδειξε
καὶ θαυμασίων βρύσιν ἀκένωτον, πάτερ Πορφύριε·
διὸ καὶ τὴν ἁγίαν ψυχήν σου
ὑπ' ἀγγέλων κυκλουμένην
πρὸ τοῦ θρόνου Αὐτοῦ ὑπεδέξατο
καὶ στέφει μὴ γηρασκούσης δόξης κατέστεψε·
παῤῥησίαν οὖν ἔχων, παναοίδιμε, πρὸς Κύριον
πρέσβευε Αὐτῷ ἀπαύστως
δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν εἰρήνην
καὶ τὸ μέγα ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.**

Δέσποινα, πρόσδεξαι...

www.tezaurliturgic.ro

## Ἀπόστιχα
### *Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ*

Πάντας τοὺς εὐσεβεῖς
ἐξέπληττες ὁρῶντας
τὴν χάριν ἥνπερ εἶχες,
Πορφύριε, ἀφθόνως
προλέγειν τὰ ἐσόμενα.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Ἄστρον νεολαμπὲς
Χριστοῦ τῆς Ἐκκλησίας,
πυρσεύμασιν ἀγάπης
καὶ διδαχῶν σου πάντας
ἐφώτισας, Πορφύριε.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαίρει ἡ Ἀττική,
ἡ Εὔβοια καὶ Ἄθως
ὁ εὐκλεής, φωσφόρε
Πορφύριε, ὧν χθόνα
ἡγίασας ἀσκήσει σου.

**Δόξα. Τριαδικόν.**

Ὄνομα τὸ σεπτὸν
τὸ Σόν, δεδοξασμένη
Θεότης τρισαγία,
Πορφύριος ὁ θεῖος
ἀρτίως ἐμεγάλυνε.

www.tezaurliturgic.ro

### Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, Μαριάμ,
λιταῖς τοῦ Πορφυρίου,
νεολαμποῦς ὁσίου,
διάσῳζε σοὺς δούλους
ἐκ συμφορῶν καὶ θλίψεων.

**Νῦν ἀπολύεις... τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**



www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ** Κύριε ἐκέκραξα **ἱστῶμεν στίχους στʹ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

***Ἦχος δʹ. Ὡς γενναῖον ἐν μάρτυσι.***

Τῶν ὁσίων ὁμόζηλος
ἐν ἐσχάτοις τοῖς ἔτεσιν,
ἀσκητὰ Πορφύριε, ἀναδέδειξαι
διὰ παννύχων σου στάσεων,
σεμνῆς πολιτείας σου,
ἀσιγήτου προσευχῆς
καὶ ἀγάπης πρὸς ἅπαντας·
σὺ γὰρ ἴχνεσι
τοῦ Κυρίου ἑπόμενος, τρισμάκαρ,
τῆς Αὐτοῦ ἀρρήτου δόξης
θεουργικῶς ἐκοινώνησας.

Ὡς ἡδύπνουν λευκάνθεμον
ἐν Εὐβοίᾳ ἐβλάστησας
καὶ τῶν Ἀθηναίων τοὺς δήμους ηὔφρανας
ὀδμαῖς ἀρίστων φθεγμάτων σου,
σοφῆς νουθεσίας σου,
ὑποδείξεων ὀρθῶν
καὶ θαυμάτων, Πορφύριε,

www.tezaurliturgic.ro

τῶν ἀπείρων σου·
διὰ τοῦτο τὴν σὴν ἐπιτελοῦντες
ἀεισέβαστον νῦν μνήμην
δοξολογοῦμεν τὸν Κύριον.

Διοράσεως ἔκτυπον,
προοράσεως μέλαθρον
καὶ κανὼν εὐθύτατος διακρίσεως
ὀφθείς, Πορφύριε ὅσιε,
προσφύγων σου σύλλογον
πολιτείαν πρὸς ὀρθὴν
καὶ μετάνοιαν εἵλκυσας
τὸν ἑκάστοτε
προσερχόμενόν σοι μετ' εὐλαβείας
καὶ αἰτούμενον τὰς θείας
πρὸς τὸν Σωτῆρα δεήσεις σου.

Ἐν δρυμοῖς κατακέκρυπται
ἡ σορὸς τῶν λειψάνων σου
Ὄρους τοῦ Ἁγίου, σεπτὲ Πορφύριε,
κατὰ ῥητὴν ὁδηγίαν σου,
φανὲ ταπεινώσεως,
βιοτῆς θεοφιλοῦς
διαυγέστατον ἔσοπτρον
καὶ ὡράϊσμα
ἀσκουμένων ἐν Καυσοκαλυβίοις,
τοῦ Θεοῦ τῇ συνεργίᾳ
φευγόντων πλάνου τὰ ἔνεδρα.

Τῆς σαρκὸς ἅπαν φρόνημα
ἀγρυπνίαις ἐνέκρωσας
καὶ ψυχὴν ἐπτέρωσας πρὸς τὸ ἄχραντον
Χριστοῦ τὸ κάλλος, Πορφύριε,
Οὗ νῦν ἐν τοῖς δώμασι
δόξης θείας ἐντρυφᾷς
καὶ Αὐτόν, εὐσυμπάθητε
πάτερ, ὅσιε,

www.tezaurliturgic.ro

ἱκετεύεις ἀπαύστως ὑπὲρ πάντων
τῶν τιμώντων σου τὴν μνήμην
ᾠδαῖς εὐήχοις καὶ ᾄσμασιν.

Ὁ φιλεύσπλαγχνος Κύριος
σὲ ὡς ἄγγελον ἔστειλεν
ὁδηγῆσαι κόσμον πρὸς τὴν μετάνοιαν
εἰς τὸν αἰῶνα, Πορφύριε,
τὸν φιλαμαρτήμονα
καὶ ἀνόσιον ἡμῶν,
ὃν ἐλάμπρυνας, ὅσιε,
ταῖς ἀκτῖσί σου
ἀρετῶν, πολιτείας ἀμωμήτου
καὶ ποικίλων χαρισμάτων,
θαυματοβρῦτα ὑπέρλαμπρε.

**Δόξα. Ἦχος πλ. β΄.**

Ἀστὴρ νεοπύρσευτος ἐδείχθης τῇ οἰκουμένῃ,
Πορφύριε θεόσοφε,
διασκεδάζων ὁμιχλώδους ἀποστασίας τὰ σκότη
καὶ καταλαμπρύνων εὐσεβῶν τὴν ὁμήγυριν·
σὺ γὰρ ἰσαγγέλως ἐπὶ γῆς πολιτευσάμενος
ἀστραπαῖς ηὔγασας διακρίσεως καὶ ἀγάπης
τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου εὑρισκομένους,
φῶς Χριστοῦ παμφαέστατον·
καὶ τοῦ ἀστέκτου φέγγους θεατὴς γενόμενος
μὴ παύσῃ πρεσβεύων τῷ ἐλεήμονι Θεῷ
ἀξιῶσαι καὶ τοὺς σὲ μακαρίζοντας ἀπολαῦσαι
τοῦ φωτὸς τοῦ διαιωνίζοντος.

**Καὶ νῦν. Θεοτοκίον.**

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

www.tezaurliturgic.ro

## Παροιμιῶν τὸ Ἀνάγνωσμα.
## (Κεφ. κδ' 1-13)

Υἱέ, μὴ ζηλώσῃς κακοὺς ἄνδρας, μηδὲ ἐπιθυμήσῃς εἶναι μετ' αὐτῶν· ψευδῆ γὰρ μελετᾷ ἡ καρδία αὐτῶν καὶ πόνους τὰ χείλη αὐτῶν λαλεῖ. Μετὰ σοφίας οἰκοδομεῖται οἶκος καὶ μετὰ συνέσεως ἀνορθοῦται. Μετὰ αἰσθήσεως ἐμπίπλανται ταμιεῖα ἐκ παντὸς πλούτου τιμίου καὶ καλοῦ. Κρείσσων σοφὸς ἰσχυροῦ καὶ ἀνὴρ φρόνησιν ἔχων γεωργίου μεγάλου. Μετὰ κυβερνήσεως γίνεται πόλεμος, βοήθεια δὲ μετὰ καρδίας βουλευτικῆς. Σοφία καὶ ἔννοια ἀγαθὴ ἐν πύλαις σοφῶν· σοφοὶ οὐκ ἐκκλίνουσιν ἐκ στόματος Κυρίου. Ἄλλα λογίζονται ἐν συνεδρίοις. Ἀπαιδεύτοις συναντᾷ θάνατος, ἀποθνήσκει δὲ ἄφρων ἐν ἁμαρτίαις. Ἀκαθαρσία δὲ ἀνδρὶ λοιμῷ ἐμμολυνθήσεται ἐν ἡμέρα κακῇ καὶ ἐν ἡμέρα θλίψεως, ἕως ἂν ἐκλίπῃ. Ῥῦσαι ἀγομένους εἰς θάνατον καὶ ἐκπρίου κτεινομένους μὴ φείσῃ· Ἐὰν δὲ εἴπῃς, οὐκ οἶδα τοῦτον, γίγνωσκε ὅτι Κύριος καρδίας πάντων γιγνώσκει καὶ ὁ πλάσας πνοὴν πᾶσιν, αὐτὸς οἶδε πάντα, ὃς ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Φάγε μέλι, υἱέ, ἀγαθὸν γάρ κηρίον, ἵνα γλυκανθῇ σου ὁ φάρυγξ.

## Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα.
## (Κεφ. λδ' 9-17)

Ἀνὴρ πεπαιδευμένος ἔγνω πολλὰ καὶ ὁ πολύπειρος ἐκδιηγήσεται σύνεσιν. Ὃς οὐκ ἐπειράθη ὀλίγα οἶδεν, ὁ δὲ πεπλανημένος πληθυνεῖ πανουργίαν. Πολλὰ ἑώρακα ἐν τῇ ἀποπλανήσει μου καὶ πλείονα τῶν λόγων μου σύνεσίς μου. Πλεονάκις ἕως θανάτου ἐκινδύνευσα καὶ διεσώθην τούτων χάριν. Πνεῦμα φοβουμένων Κύριον ζήσεται, ἡ γὰρ ἐλπὶς αὐτῶν ἐπὶ τὸν σῴζοντα αὐτούς. Ὁ φοβούμενος Κύριον οὐδὲν εὐλαβηθήσεται καὶ οὐ μὴ δειλιάσῃ, ὅτι αὐτὸς ἐλπὶς αὐτοῦ. Φοβουμένου τὸν Κύριον μακαρία ἡ ψυχή· τίνι ἐπέχει καὶ τὶς ἀντιστήριγμα αὐτοῦ; Οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς ἀγαπῶντας αὐτόν· ὑπερασπισμὸς δυναστείας καὶ στήριγμα ἰσχύος, σκέπη ἀπὸ καύσωνος καὶ βοήθεια ἀπὸ πτώσεως, ἀνυψῶν ψυχὴν καὶ φωτίζων ὀφθαλμούς, ἴασιν διδούς, ζωὴν καὶ εὐλογίαν.

www.tezaurliturgic.ro

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. δ' 7-15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἰδιόμελα
### *Ἦχος α'.*

Δεῦτε, τῶν φιλεόρτων τὰ συστήματα,
πνευματικὴν ἑορτὴν συγκροτήσαντες σήμερον
δόξαν ἀναπέμψωμεν Κυρίῳ
τῷ δωρησαμένῳ ἡμῖν ἀρτίως μεσίτην
τὸν θεοφόρον Πορφύριον·
οὗτος γὰρ θεοφιλῶς πολιτευσάμενος
καὶ ὡς δρόσος Ἀερμὼν ἀναψύξας Ὀρθοδόξων τὸν σύλλογον
Θεῷ εὐηρέστησεν,
Ὧ πρεσβεύει νῦν ἀπαύστως ἐν πόλῳ
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

### *Ἦχος β'.*

Ἐ'ξ ἁπαλῶν ὀνύχων τὴν ἀρετὴν ἐπιμελῶς ἀσκήσας
καὶ τὰς ἐντολὰς τοῦ Εὐαγγελίου τηρήσας
ὄργανον εὔχρηστον τοῦ Παρακλήτου γέγονας,
πνευματέμφορε Πορφύριε·

www.tezaurliturgic.ro

κομισάμενος ὅθεν παρ' Αὐτοῦ χαρισμάτων ἐνέργειαν
οἰακοστρόφος ψυχῶν ὤφθης στεῤῥότατος τῶν σῶν προσφύγων,
ὧν τὰ ἐνδότερα ἐπεγίγνωσκες καὶ τὰ ἐσόμενα προέβλεπες·
καὶ νῦν ὡς τῷ θείῳ φωτὶ ἐλλαμπόμενος
φώτισον καὶ τῶν τιμώντων σε τὰς καρδίας
κατανοεῖν καὶ πράττειν τὰ τῶν ψυχῶν σωτήρια
ταῖς πρὸς Θεὸν ἱκεσίαις σου, πανσεβάσμιε.

### *Ἦχος γ'.*

Πνεύματος θείου πλησθείς, θεοφόρε,
τοῦ μισοκάλου δαίμονος τὰς παγίδας
ὡς ἱστὸν ἀράχνης διέτεμες
καὶ θεαρέστως ἤνυσας τὸν βίον σου, Πορφύριε·
προσορμισθεὶς ὅθεν εἰς οὐράνιον λιμένα
καὶ χειρὶ ζωοποιῷ κομισάμενος
τὸ τῆς ἀφθαρσίας στέφος
ἀδιαλείπτως πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### *Ἦχος δ'.*

Ὡς λύχνος θεοφεγγὴς ἐτέθης ἐπὶ τὴν λυχνίαν ὑπὸ τοῦ Κυρίου,
ἵνα φωτίζῃς τοὺς ἐν τῇ σκοτείᾳ
τοῦ παρόντος αἰῶνος κειμένους
αὐγαῖς τῶν λόγων καὶ θεοσημείων σου, Πορφύριε·
προσενεγκὼν γὰρ τῷ Κυρίῳ τοὺς ἱδρῶτας τῶν καμάτων σου
καὶ τὸν καρπὸν τῆς ἐπὶ γῆς γεωργίας σου
ἀντεβραβεύθης παρ' Αὐτοῦ Βασιλείαν οὐράνιον
τὴν ἐν θείοις δώμασι πανευφρόσυνον·
αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, νεοφανῶν πατέρων ἀτίνακτε πρόβολε,
τοὺς ὡς προστάτην ὑμνοῦντάς σε ἀνύστακτον
καὶ μελιχραῖς μελῳδίαις τελούντων ἐν πίστει
τὴν ἀεισέβαστον μνήμην σου.

www.tezaurliturgic.ro

### Δόξα. Ὁ αὐτός.

Ἀγγελικὴν ποθήσας βιοτὴν παιδιόθεν
ἰσαγγέλως ἐπολιτεύσω ἐν ἐρημίαις καὶ ἐν τῷ κόσμῳ,
θεόσοφε, πάτερ Πορφύριε·
σὺ γὰρ ἰχνηλατῶν ἀρτίως
τὰς ἀρετὰς τῶν πάλαι διαλαμψάντων πατέρων
διαυγὲς δοχεῖον τοῦ Πνεύματος γέγονας, ἀξιάγαστε·
κληρονομήσας οὖν τὴν γῆν τῶν πραέων
καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τρυφῶν ἐν πόλῳ
πρέσβευε Κυρίῳ σωθῆναι τοὺς σὲ μακαρίζοντας.

### Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε,...

### Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.
### *Ἦχος πλ. α'. Χαίροις, ἀσκητικῶν.*

Χαίροις, ὁ ἐν τοῖς χρόνοις ἡμῶν
ἀκολουθήσας τοῦ Κυρίου τοῖς ἴχνεσι
καὶ ῥέοντα πάντα βίου
ἐξ ἡλικίας μικρᾶς
ὅλῃ σου ἐφέσει
ἀρνησάμενος
ψυχῆς, παναοίδιμε,
καὶ νεκρώσας τὸ φρόνημα
σαρκὸς τὸ πνεῦμα
πρὸς Θεὸν ἀνεπτέρωσας
ἱερώτατον
Παρακλήτου γενόμενος
σκήνωμα· ὅθεν εἴληφας
ὑψόθεν, Πορφύριε,
χάριν γιγνώσκειν μερόπων
καρδίας πάντα τὰ κρύφια
καὶ ὥσπερ παρόντα
τὰ ἐσόμενα προλέγειν,
θεομακάριστε.

www.tezaurliturgic.ro

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαίροις, ὁ τῆς Εὐβοίας πυρσός,
ὁ ἀναφθεὶς ἐν τοῖς δρυμοῖς ἄρτι Ἄθωνος
καὶ πᾶσαν καταφωτίσας
τὴν Ἐκκλησίαν Χριστοῦ
ἀρετῆς ἀκτῖσι
καὶ χρηστότητος,
Πορφύριε ὅσιε,
διακρίσεως ἄγαλμα,
ὑπακοῆς τε
καὶ ἀγάπης θησαύρισμα,
ὁ τοῖς λόγοις σου
ἀναπαύσας τὸ πλήρωμα
ἅπαν τὸ χριστεπώνυμον
καὶ τοῦτο πρὸς ἄληκτον
χαρὰν ἰθύνας, παμμάκαρ,
καὶ εὐφροσύνην αἰώνιον,
εἰς ἣν δι' εὐχῶν σου
καὶ ἡμᾶς τοὺς σὲ τιμῶντας
φαιδρῶς εἰσάγαγε.

**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Χαίροις, ὁ ἱερεὺς ὁ σεμνός,
ὁ τὰς Ἀθήνας τὰς κλεινὰς λογιζόμενος
ὡς ἔρημον καὶ βιώσας
ἀγγελικῶς ἐν αὐταῖς
ὥσπερ ἐρημίτης
θεοείκελος·
κατέχων γὰρ πίστεως
νέκταρ ὄντως γλυκύτατον
βροτοὺς ποθοῦντας
τοῦτο γεύσασθαι εἵλκυσας
πρὸς μετάνοιαν
σωστικήν, πνευματέμφορε·
ὅθεν πολύχουν ἤνεγκας
καρπὸν τῷ Παντάνακτι

www.tezaurliturgic.ro

Χριστῷ, Πορφύριε θεῖε,
σπορεῦ τοῦ λόγου ἀκέραιε,
ὁ χάριν ἀφθόνως
εἰληφὼς λαὸν ἰθύνειν
πρὸς βίον κρείττονα.

**Δόξα. Ἦχος πλ. α΄.**

Τὸν ἀφθονοπάροχον πνευματικὸν τροφοδότην
τῶν ἐν βίου δίναις κλυδωνιζομένων
καὶ πρακτικῆς σοφίας ὑφηγήτορα,
Πορφύριον τὸν νέον, εὐφημήσωμεν λέγοντες·
νεολαμπῶν ἀσκητῶν ἀκροθίνιον,
διοράσεως ἐκσφράγισμα
καὶ λειμὼν εὐωδέστατε τῆς ἐν Χριστῷ ταπεινώσεως,
μὴ παύσῃ πρεσβεύων τῷ Κυρίῳ τῆς δόξης
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**
Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...
**Νῦν ἀπολύεις... τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**

***Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.***

Προγιγνώσκειν τὸ μέλλον
σοφῶς, Πορφύριε,
ὡς ἀντιμίσθιον πόνων
καὶ βιοτῆς εὐσεβοῦς
χάριν δέδωκέ σοι ἄνωθεν ὁ Κύριος·
ἄνθος Εὐβοίας ἱερόν,
ἐκ τοῦ Ἄθω μυστικῶς
πρὸς κήπους μετεφυτεύθης
ἀλήκτου δόξης πρεσβεύειν
Χριστῷ ὑπὲρ τῶν εὐφημούντων σε.

**Θεοτοκίον**

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.

*Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.*

Θεῷ ἱερουργῶν
εὐλαβῶς, θεοφόρε
Πορφύριε, σεμνὸς
θυηπόλος ἐδείχθης·
διὸ καὶ ἀπείληφας
δαψιλῆ χάριν ἄνωθεν
βρύειν ἅπασι
τῶν ἰαμάτων τὰ ῥεῖθρα
τοῖς τιμῶσί σε
ὥσπερ ἀκένωτον κρήνην
ἐνθέου φρονήματος.

**Δόξα. Τὸ αὐτό.**
**Καὶ νῦν. Θεοτοκίον.**

Δυσώπει ἐκτενῶς,
Θεοτόκε Παρθένε,
ὑπὲρ τῶν εὐλαβῶς
σὲ ἀπαύστως τιμώντων
Υἱόν σου τὸν πάνσεπτον
καὶ Σωτῆρα τῆς κτίσεως,
Ὃν ἐκύησας

www.tezaurliturgic.ro

ὑπερφυῶς καὶ ὡς βρέφος
ἐν ἀγκάλαις σου
ταῖς παναχράντοις καὶ θείαις
ἀκόπως ἐβάστασας.

### Μετὰ τὴν β' Στιχολογίαν Κάθισμα.

### *Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Βαλβὶς ταπεινώσεως,
ὑπομονῆς καὶ εὐχῆς
ὀφθεὶς χάριν εἴληφας
ἀφθόνως ἐξ οὐρανοῦ,
Πορφύριε ὅσιε·
ὅθεν τοῖς πρόσφυξί σου
ἀναργύρως παρέχεις
ἴασιν καὶ εἰρήνην
ψυχικὴν ὥσπερ κρήνη
κιρνῶσα τοῖς διψῶσι πιστῶς
ὕδωρ εὐφρόσυνον.

### Δόξα. Τὸ αὐτό.
### Καὶ νῦν. Θεοτοκίον.

Πανάμωμε Δέσποινα,
ὁσίων πάντων χαρά,
λιταῖς τοῦ θεόφρονος
ἀρτιλαμπροῦς ἀσκητοῦ
καὶ φίλου τοῦ Τόκου σου,
Μῆτερ, γνησιωτάτου,
εὐλαβοῦς Πορφυρίου,
σῷζε τοὺς σοὺς οἰκέτας
ἀπὸ πάσης ἀνάγκης
καὶ βλάβης ἀνηκέστου ἐχθροῦ
τοῦ παναλάστορος.

www.tezaurliturgic.ro

## Μετὰ τὸν Πολυέλεον Κάθισμα.

*Ἦχος γ'. Τὴν ὡραιότητα.*

Ἀρτίως ηὔγασας πιστοὺς πυρσεύμασι
τῆς ἐνοικούσης σοι ἀφθόνου χάριτος,
πνευματοφόρε ἀσκητά, ὃν τρόπος καὶ οὐχ ὁ τόπος
βιοτῆς ἡγίασε, προοράσεως μάργαρον,
κρίνον διακρίσεως καὶ λειμὼν διοράσεως·
διό σοι οἱ ἐν σκότει βοῶμεν· Χαίροις, Πορφύριε τρισμάκαρ.

**Δόξα. Τὸ αὐτό.**
**Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Εὐαγγέλιον Ὁσιακόν. (Λουκ. στ' 17-23)**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...
**Ζήτει τῇ παρασκευῇ τῆς Β' ἑβδομάδος.**

**Ὁ Ν' Ψαλμός.**

**Δόξα.** Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,...

*Ἰδιόμελον. Ἦχος πλ. β'.*

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

www.tezaurliturgic.ro

Ἀσκητικῇ ἀγωγῇ σεαυτὸν καθάρας, πάτερ Πορφύριε,
δοχεῖον τὴν ψυχήν σου καθαρώτατον
κατέστησας τοῦ θείου Παρακλήτου·
οἰκήσας οὖν ἐν σοὶ ὁ ἐτάζων καρδίας καὶ νεφροὺς Κύριος
σὲ προγιγνώσκειν τὸ μέλλον ἠξίωσε
καὶ διαβλέπειν ψυχῶν τὰ ἐνδότερα·
πρέσβευε οὖν, μάκαρ, τῷ σὲ δοξάσαντι Κυρίῳ
εἰρήνην ἀστασίαστον ἡμῖν κατ' ἄμφω δωρῆσαι
καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....
**Εἶτα ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς:**
"Πορφύριον, νέον πιστῶν καταφύγιον, ᾄδω. Χ."

***Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.***

Πορφύριον, Δέσποτα,
τῶν ἀρετῶν ἐνδιαίτημα,
νεότευκτον οἴκημα
καταφυγῆς τῶν πιστῶν
καὶ ἀμάρυγμα
λαμπρὸν τῆς Ἐκκλησίας.
φαιδροῖς με ἀξίωσον
ᾄδειν μελίσμασιν.

Ὁλόφωτον μέλαθρον
τῆς θείας χάριτος πέφηνας,
Πορφύριε ὅσιε,
ἀρτίως καὶ ἀκρεμὼν
διοράσεως
ψυχῶν ὁρᾶν τὰ ἔσω
δυνάμενος πάντοτε
τῶν προστρεχόντων σοι.

Ῥεόντων ὑπέρτερος
ὀφθείς, παμμάκαρ Πορφύριε,
ἐκ χρόνων νεότητος
ἔσχες ψυχῆς ὀφθαλμοὺς

www.tezaurliturgic.ro

πρὸς τὰ ἄρρευστα
ἐν πόλῳ ἐστραμμένους
σποδὸν λογιζόμενος
πάντα τὰ γήϊνα.

Φιλῶν χρηστοήθειαν,
δικαιοσύνην, ταπείνωσιν,
νηστείαν καὶ ἄσκησιν
ἐδείχθης χειραγωγὸς
πρὸς τὴν ἄληκτον
ζωὴν τῶν σῶν προσφύγων
ἀλάνθαστος, χάριτος
σκεῦος, Πορφύριε.

**Θεοτοκίον.**

Ὑπέρλαμπρον σκήνωμα
Θεοῦ τοῦ Λόγου, Παντάνασσα,
σκοτόμαιναν σκέδασον
τῆς ἀπιστίας ἡμῶν
καὶ ὁδήγησον
πρὸς φέγγος τοῦ Υἱοῦ σου
τὸ ἄστεκτον ἅπαντας
σὲ τοὺς γεραίροντας.

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Ῥαγείσας καρδίας ἐκ τοῦ ἄχθους
καὶ θλίψεων ῥήμασι τοῖς σοῖς
ἰάτρευες, Πορφύριε,
καὶ τὸν σταυρὸν ἐδίδασκες
τοῦ βίου φέρειν χαίροντας
τοὺς εὐσεβεῖς ἐπωμάδιον.

Ἰσχύος ἐπλήρους ἀσθενοῦντας,
βλαστὲ τῆς Εὐβοίας εὐθαλές,
καὶ κάμνοντας ἐστήριζες,
ἁπλότητος, Πορφύριε,
περικαλλὲς ἀνάκτορον
καὶ ταπεινώσεως ἄγαλμα.

www.tezaurliturgic.ro

Ὁδὸν τὴν στενὴν καὶ τεθλιμμένην
ἀπάγουσαν εἰς τοὺς οὐρανοὺς
ἐβάδισας, Πορφύριε,
ἀρτίως καὶ κατήντησας
εἰς φωτεινὰ σκηνώματα
Χριστῷ συνεῖναι γηθόμενος.

**Θεοτοκίον.**

Νοός μου ἀπέλασον ὀμίχλην,
Πανάμωμε, καὶ παρεκτροπὰς
φωτὶ τῆς ἐπιπνοίας σου,
εὐλογημένη Δέσποινα,
ὡς ἂν ἀεὶ δοξάζω σε
καὶ μεγαλύνω τὸν Τόκον σου.

***Κάθισμα. Ἦχος πλ. α΄.***
***Τὸν συνάναρχον Λόγον.***

Ἁπαλῶν ἐξ ὀνύχων
Χριστοῦ τῷ ἔρωτι
ὡς τετρωμένος, παμμάκαρ,
τῶν ὑπὲρ λόγον καὶ νοῦν
κατηξίωσαι, Πορφύριε, ἐλλάμψεως·
ὅθεν ὡς ἄστρον παμφαὲς
ἐν ἐσχάτοις τοῖς καιροῖς
διέλαμψας εὐσεβείας,
διδασκαλίας ἐνθέου
καὶ θαυμασίων σου πυρσεύμασι.

**Δόξα. Τὸ αὐτό.**
**Καὶ νῦν. Θεοτοκίον.**

Ἀδοξίας με ῥῦσαι,
Θεοχαρίτωτε,
καὶ ἁμαρτάδων παντοίων
τὸν σὲ ὑμνοῦντα λαμπρῶς,
Μητροπάρθενε, τοῦ κόσμου καταφύγιον·

www.tezaurliturgic.ro

δεῖξόν με οὖν ὡς συμπαθὴς
Βασιλείας οὐρανῶν
Υἱοῦ σου τοῦ παναγίου
πολίτην σαῖς ἱκεσίαις
καὶ ῥυπτικαῖς σου παρακλήσεσιν.

**ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Νεοπύρσευτον ἀστέρα
νοητοῦ στερεώματος
τοῦ τῆς Ἐκκλησίας
ἔγνωμέν σε, πάτερ Πορφύριε,
τὸν καταυγάσαντα κόσμον προοράσεως
ταῖς ἀκτῖσί σου
καὶ ἀρετῶν λαμπηδόσι σου.

Εὐσεβούντων πλῆθος μέγα
πρὸ τῆς ἱερωσύνης σου
ἔκλινεν αὐχένα
ἄφεσιν πταισμάτων αἰτούμενον
καὶ συμβουλάς σου σοφὰς ἀπεκδεχόμενον,
πάτερ ὅσιε,
πνευματοφόρε Πορφύριε.

Ὁσιότητος πυξίον,
λειτουργὸς ἐχρημάτισας
ναϋδρίου, πάτερ,
θείου Γερασίμου σεμνότατος
καὶ ἠκολούθης αὐτοῦ καλῶς τοῖς βήμασι
πρὸς τελείωσιν
τὴν ἐν τῷ πόλῳ, Πορφύριε.

**Θεοτοκίον.**

Νέκρωσόν μου, Θεοτόκε,
τῆς σαρκὸς τὰ σκιρτήματα
καὶ ψυχῆς μου ὅλην
ζώωσον τὴν ἔφεσιν, κράζω σοι,
ποθεῖν τὰ κρείττω καὶ βίον ἀτελεύτητον

www.tezaurliturgic.ro

τὸν ἐν δώμασι
τῶν οὐρανῶν, Μητροπάρθενε.

**Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.**

Πατέρων ὑπόδειγμα,
ἐν τῇ ἐν Ἄθῳ ἤσκησας
Σκήτῃ Καυσοκαλυβίων, πάτερ,
καὶ τῶν ἀρχαίων
ὀφθεὶς ὁσίων εἰκών,
εὐχῇ καὶ ἀσκήσει ἀκλινεῖ
ἔλαμψας, Πορφύριε,
ἐν ἐσχάτοις τοῖς ἔτεσιν.

Ἰσχὺν κομισάμενος
ὑψόθεν πάτερ ὅσιε,
ἔνεδρα ἐπάτησας τοῦ πλάνου
καὶ ὡς στρουθίον
τὴν ἐρημίαν φιλοῦν
μονύδριον ᾤκησας ἑκὼν
Καλλισίων, πάνσοφε,
τὸ ἀρχαῖον, Πορφύριε.

Σοφίαν, Πορφύριε,
κατεῖχες τὴν οὐράνιον
εἰ καὶ οὐκ εὐμοίρησας παιδείας·
διόπερ πᾶσαν
τὴν γνῶσιν ἔσχες ψυχὰς
ἰθύνειν, Πορφύριε, καλῶς
πρὸς λιμένα εὔδιον
ἐν Χριστῷ τελειώσεως.

**Θεοτοκίον.**

Τὸ μέγα μυστήριον
τοῦ Τόκου σου θαυμάζοντες
κράζομεν· Κυρία Θεοτόκε,
πῶς τὸν Σωτῆρα
καὶ ποιητὴν τοῦ παντός,

www.tezaurliturgic.ro

τὸν πᾶσαν συνέχοντα χειρὶ
κτίσιν ἐν τῇ μήτρᾳ σου
τῇ ἁγίᾳ ἐχώρησας;

**Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.**

Ὡς φίλον Κτίσαντος γνήσιον
οἱ δῆμοι τῶν πιστῶν σε προβάλλομεν
πρέσβυν θερμότατον,
ὡς ἂν ἀεὶ διαπλέωμεν
τὸ πέλαγος τοῦ βίου
καλῶς, Πορφύριε.

Ναὸς λαμπρὸς διακρίσεως
ὑπάρχων, θεοφόρε Πορφύριε,
σαφῶς διέκρινες
τὰς ἐνεργείας τοῦ δαίμονος
καὶ ἀποφεύγειν πάντας
αὐτὰς ἐδίδασκες.

Μονῆς δομήτωρ γεγένησαι
τῆς ἐν τῷ Μηλεσίῳ, Πορφύριε,
εἰς ἣν ἑκάστοτε
πιστῶν τὰ πλήθη προσέτρεχον,
ἵνα τῆς σῆς ἁγίας
εὐχῆς τρυφήσοιεν.

**Θεοτοκίον.**

Ἁγνὴ Παρθένε, θεόνυμφε,
ψυχῆς καὶ τῆς σαρκός μου διοίκησιν
σοὶ ἀνατίθημι,
ὡς ἂν ὀρθῶς τὸ ὑπόλοιπον
τοῦ βίου διανύσω
ὁ τάλας δοῦλός σου.

www.tezaurliturgic.ro

## Κοντάκιον.

### *Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.*

Τὸν ὑακίνθῳ καὶ πορφύρᾳ ταπεινώσεως,
ὑπακοῆς τε καὶ ἀγάπης στολισάμενον
τῆς ψυχῆς αὐτοῦ τὸ ἔνδυμα καὶ ὀφθέντα
χαρισμάτων θείου πνεύματος ἐκσφράγισμα
εὐφημήσωμεν σοφίας ὡς διδάσκαλον
ἀνακράζοντες· Χαίροις, μάκαρ Πορφύριε.

## Ὁ Οἶκος.

Ἄγγελος ἐν σαρκίῳ
καὶ βροτὸς ἀγγελόφρων,
Πορφύριε, ἀρτίως ἐπώφθης·
ὅθεν πάντες ἀνθρώπων χοροὶ
ὡς χαρίτων θείων διαυγὲς ἔσοπτρον
τιμῶντές σε κραυγάζομεν
φωναῖς πανευσεβέσι ταῦτα·
Χαῖρε, τὸ βλάστημα τῆς Εὐβοίας·
χαῖρε, τὸ σέμνωμα Ἐκκλησίας·
Χαῖρε, θεϊκῶν δωρεῶν στηλογράφημα·
χαῖρε, εὐλαβῶν χοϊκῶν θεῖον καύχημα·
Χαῖρε, ὕψος προοράσεως καὶ ἀγάπης λαμπηδών·
χαῖρε, βάθος διοράσεως καὶ χρηστότητος εἰκών·
Χαῖρε, ὅτι στηρίζεις τῶν καμνόντων καρδίας·
χαῖρε, ὅτι ἐδείχθης ἀκρεμὼν εὐσεβείας·
Χαῖρε, ἀστὴρ εὐχῆς νεοπύρσευτος·
χαῖρε, λαμπτὴρ ἀσκήσεως πάμφωτος·
Χαῖρε, δεινῶς τρυχομένων ἀκέστωρ·
χαῖρε, τῶν σῶν φοιτητῶν παρακλήτωρ·
Χαίροις, μάκαρ Πορφύριε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΙΘ' Νοεμβρίου / Β' Δεκεμβρίου. Εἶτα λέγομεν.**

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ὁσίοις ἀναπαυομένου θαυματοβρύτου πατρὸς ἡμῶν Πορφυρίου τοῦ Νέου.

www.tezaurliturgic.ro

**Στίχοι.**

Ἀσκήσεως ἀμπεχόμενος πορφύραν
λαμπρὰν εἰσῆλθες, Πορφύριε, εἰς πόλον.

Μισῶν, Πορφύριε, γηράσκουσαν δόξαν
κοινωνὸς γέγονας τῆς μὴ γηρασκούσης.

**Συναξάριον.**

Ὁ ἀρτίως καταυγάσας τὸ νοητὸν τῆς Ἐκκλησίας στερέωμα ἀκτῖσιν ἀμέμπτου βιοτῆς καὶ θαυμασίων πλείστων πνευματοφόρος Πορφύριος ἐγεννήθη ἐν τῇ ἐγγὺς τοῦ Ἀλιβερίου Εὐβοίας κειμένῃ κώμῃ τοῦ Ἁγίου Ἰωάννου. Γόνος ἁπλῶν γονέων, ποιμένων ἀλόγων ζώων, μὴ εὐμοιρήσας τυχεῖν τῆς θύραθεν παιδείας ἠξιώθη γενέσθαι σοφότατος ποιμὴν τῶν λογικῶν προβάτων τῆς τοῦ Χριστοῦ Ἐκκλησίας. Κατὰ τὰ πρῶτα ἔτη τῆς ἐφηβικῆς αὐτοῦ ἡλικίας καὶ μιμούμενος τὸν Ὅσιον Ἰωάννην τὸν Καλυβίτην, λαθὼν τῆς προσοχῆς τῶν αὐτοῦ γονέων κατέφυγεν εἰς τὸ ἁγιώνυμον Ὄρος τοῦ Ἄθωνος. Ὑποτακτικὸς γενόμενος θεοφιλῶς ἀσκουμένων αὐταδέλφων μοναχῶν ἐν τῇ ἐκεῖσε ἱερᾷ τῶν Καυσοκαλυβίων Σκήτῃ προέκοπτεν τῇ ὑπακοῇ καὶ τῇ γνησίᾳ ἀσκητικῇ ἀγωγῇ. Καταλιπὼν διὰ λόγους ὑγιείας τὸν Ἄθωνα καὶ ἐπανακάμψας εἰς τὴν πατρίδα αὐτοῦ οὐδόλως ἐμείωσε τοὺς ἀσκητικοὺς αὐτοῦ πόνους καὶ ἀγῶνας. Ἡ ἱερὰ τῶν Λευκῶν μονὴ τοῦ Ἁγίου Χαραλάμπους ὑπῆρξεν ἡ νέα παλαίστρα τῶν στεῤῥῶν αὐτοῦ παλαισμάτων. Εἰς τὸ παρεκκλήσιον τοῦ Ἐπισκοπείου ἐν Κύμῃ ἔλαβε τὸ χρῖσμα τοῦ ἱερέως καὶ μετωνομάσθη εἰς Πορφύριον ὑπὸ τοῦ Ἀρχιεπισκόπου Σινᾶ Πορφυρίου. Πιστεύων ἀκραδάντως ὅτι ὁ τρόπος ζωῆς καὶ οὐχὶ ὁ τόπος ἁγιάζει τὸν ἄνθρωπον μετήνεγκε τὴν ἔρημον εἰς τὸ πολύβοον ἄστυ τῶν Ἀθηνῶν, ἔνθα ἐτέθη ὁ λύχνος ἐπὶ τὴν λυχνίαν ὑπὸ τοῦ Κυρίου καὶ ἔλαμψε πάσῃ τῇ οἰκουμένῃ. Ἐν τῷ ναῷ τοῦ ἁγίου Γερασίμου τῆς Πολυκλινικῆς, ἐν τῷ μονυδρίῳ τοῦ ἁγίου Νικολάου τῶν Καλλισίων τῆς Πεντέλης καὶ ἐν τῷ ἡσυχαστηρίῳ τοῦ Μηλεσίου, ὃ χάριτι θείᾳ ἐδόμησεν, ἐδέχετο πλήθη καμνόντων, χειμαζομένων, ἀσθενούντων καὶ κακοπαθούντων. Εἰς ὅλων τὰς ψυχὰς ἔῤῥιπτε βάλ-

www.tezaurliturgic.ro

σαμον παρηγορίας, ἐλπίδος, ἀγάπης καὶ πίστεως. Διεκρίθη διὰ τὸ προορατικὸν αὐτοῦ χάρισμα, τὸ διορατικόν, τὸ ἰαματικὸν καὶ τὸ ποιμαντικόν. Ἀστὴρ πρώτου μεγέθους ἐπεθύμησε δῦναι εἰς τὸ κελλίον τῆς αὐτοῦ μετανοίας, οὗπερ καὶ ἐπέτυχε. Μετέστη πρὸς μονὰς οὐρανίους τῇ ΙΘ′ Νοεμβρίου / Β′ Δεκεμβρίου τοῦ ἔτους 1991 ἐκ τῆς ἱερᾶς τῶν Καυσοκαλυβίων Σκήτεως, ἔνθα καὶ ἐτάφη, μὴ ἀνακοινωθέντος τοῦ θανάτου αὐτοῦ πρὸ τῆς ταφῆς αὐτοῦ. Κατὰ ρητὴν αὐτοῦ ὁδηγίαν τὰ λείψανα αὐτοῦ ἀνακομισθέντα μετὰ τριετίαν ἐτάφησαν εἰς δασύσκιον καὶ ἄγνωστον τοῖς πᾶσι δρυμὸν τοῦ Ἄθωνος ὑπὸ τῶν αὐτοῦ πνευματικῶν τέκνων· ὁ ταπεινὸς οὕτω Γέρων ἀπέφευγε καὶ τὴν μετὰ θάνατον δόξαν καὶ τιμὴν τῶν ἀνθρώπων. Καὶ ζῶν καὶ μετὰ πότμον ὁ Πορφύριος ἀνεδείχθη πηγὴ θαυμασίων· διὸ καὶ ἡ μνήμη αὐτοῦ ὡς ἁγίου τιμᾶται πανηγυρικῶς ἀπὸ τῆς πρώτης στιγμῆς τῆς αὐτοῦ ὁσιακῆς κοιμήσεως.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**ᾨδὴ ζ′. Οὐκ ἐλάτρευσαν.**

Τὰ συμβαίνοντα
τοῖς πᾶσι προεγίγνωσκες
καὶ τὰ ἐνδότερα
τῶν καρδιῶν, ἀσκητά,
τῇ σῇ θείᾳ χάριτι
δοθείσῃ ἄνωθεν
ὡς ἀόκνων σου
ἀγώνων ἀντιμίσθιον,
νέε λύχνε Ἐκκλησίας.

Ἀγγελόμορφε
Πορφύριε, ἀρχέτυπον
τῆς ταπεινώσεως,
τὴν τελευτὴν προορῶν
τὴν σὴν ἀνεχώρησας
διὰ τὸν Ἄθωνα
φεύγων, ὅσιε,

www.tezaurliturgic.ro

τιμὰς τὰς μετὰ θάνατον
καὶ τὴν δόξαν τῶν ἀνθρώπων.

Φάρος πίστεως
νεολαμπής, Πορφύριε,
καὶ ἐπιγνώσεως
πυρσὸς ὀφθεὶς τηλαυγὴς
βολαῖς πολιτείας σου
σεμνῆς ἐφώτισας
κόσμον ἅπαντα
ἐν δυσχειμέροις ἔτεσιν
ἐκ Θεοῦ ἀποστασίας.

**Θεοτοκίον.**

Ὕπνον σκόρπισον
τῆς ἀμελείας, Δέσποινα,
ἐκ τῶν βλεφάρων μου
καρδίας, ἀναβοῶ
θερμῶς, καὶ ἀξίωσον
ὀρθρίζειν πάντοτε
πρὸς τὸν ἄδυτον
δικαιοσύνης ἥλιον,
Ἰησοῦν τὸν Ζωοδότην.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Γῆθεν πρὸς νομὰς ἐπουρανίους
μετέστης καλῶς τελέσας τὸν ἀγῶνά σου,
ἵνα σὺν τοῖς τάγμασι
τῶν ἀγγέλων πάντοτε
εὐφραίνῃ καὶ τοῦ Κτίσαντος
καὶ Παντοκράτορος,
Πορφύριε, πατέρων λαμπρότης,
ἀπολαύῃς κάλλους εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro

Ἰαμάτων εἴληφας τὴν χάριν
καὶ ξένων θαυμάτων πρόξενος γεγένησαι
ἐν ἐσχάτοις ἔτεσιν,
ἀσκητὰ Πορφύριε,
καὶ ζῶν καὶ μετὰ θάνατον·
διὸ τιμῶντές σε
πρεσβείας σου αἰτούμεθα πάντες
στένοντες ἐν ἄχθει καὶ θλίψεσι τοῦ βίου.

Ὅσιε, ἀόμματος ὑπάρχων
κατηύθυνας ὁδηγὸν τοῦ σοῦ ὀχήματος
πρὸς ναόν, ὃν ἤθελες
προσκυνῆσαι πάνσεπτον
μέσῳ δρυμοῦ, Πορφύριε,
πυκνοῦ, ἀλάνθαστε
πυξὶς τῶν ποντουμένων ἐν βίῳ
εὔδιον πρὸς ὅρμον καὶ ἄκλυστον λιμένα.

**Θεοτοκίον.**

Νύκτα ζοφερᾶς μου ἁμαρτίας
ἀπέλασον καὶ περιδινοῦσάν με
παναθλίως θύελλαν,
Δέσποινα, πταισμάτων μου,
ἐκδυσωπῶ σε, πάναγνε,
ταχὺ φυγάδευσον
τῇ χάριτι τῇ σῇ πόῤῥῳ τάχος,
ἵνα σωτηρίας ὁ πολυτλήμων τύχω.

**Ὠδὴ θ'. Ἅπας γηγενής.**

Ἄγγελοι τὴν σήν,
Πορφύριε, κοίμησιν
πανηγυρίζουσι
καὶ βροτῶν ὁμήγυρις
νῦν μετὰ πότμον
τὴν θείαν μνήμην σου
τελοῦσα μεγαλύνει σου

www.tezaurliturgic.ro

θαυμάτων πέλαγος·
ὅθεν πάντες,
γῆ καὶ ἐπουράνια,
σῶν ἀγώνων ὑμνοῦσι τὰ ἔπαθλα.

Δάφνας οὐ φιλῶν,
οὐδὲ ὀρεγόμενος
ἐπαίνου ῥέοντος
τὰ σεπτά σου λείψανα
κατὰ ῥητήν σου
εὐχήν, Πορφύριε,
μετὰ τὴν ἀνακόμισιν
δρυμὸν εἰς δύσβατον
καὶ τοῖς πᾶσιν
ἄγνωστον ἐτάφησαν,
ταπεινώσεως φῶς νεαυγέστατον.

Ὡς ἡδυτερπὲς
σὲ μέλπομεν λείριον,
σοφὲ Πορφύριε,
καὶ νῦν συνωθούμενοι
εἰς τὸ σεπτόν σου
ἡσυχαστήριον
παρακαλοῦμεν· πρέσβευε
Κυρίῳ δύναμιν
τὴν κατ' ἄμφω
καὶ εἰρήνην ἅπασι
σοῖς ἱκέταις διδόναι ἀείποτε.

**Θεοτοκίον.**

Χάριτος πηγὴ
ἀκένωτε, Δέσποινα,
ὑμνολογοῦμέν σε
καὶ καθικετεύομεν·
τῶν οἰκετῶν σου
ἀεὶ αἰτήματα
προσάγαγε πρὸς Κύριον,

www.tezaurliturgic.ro

τὸν θεῖον Τόκον σου,
καὶ παράσχου
ἅπασι τὰ πρόσφορα
ὡς μητέρα Θεοῦ τοῖς τιμῶσί σε.

***Ἐξαποστειλάριον.***
***Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.***

Φωτόμορφε Πορφύριε,
ἐν τοῖς ἐσχάτοις ἔτεσιν
ἀπέστειλέ σε ὁ Κτίστης
καὶ Φωτοδότης τῷ κόσμῳ
τῆς ἀγνωσίας ζόφωσιν
σκεδάσαι καὶ πυρσεύμασι
τῶν ἱερῶν φθεγμάτων σου
φωταγωγῆσαι τὰ πλάτη
τῆς ὑφηλίου ἁπάσης.

**Θεοτοκίον.**

Ὡς τέξασα τὴν ἄβυσσον
τῆς εὐσπλαγχνίας, Δέσποινα,
Θεὸν ἡμῶν Ζωοδότην
καὶ τῆς φθορᾶς καθαιρέτην,
ἐξ οὐρανοῦ ἐπίβλεψον
ἐπὶ τὸν σοὶ προσπίπτοντα
καὶ μετανοίας δεῖξόν μοι
γνησίας τρίβους, Παρθένε,
ἵνα σωθήσομαι, κράζω.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τα ἑξῆς Προσόμοια.**

***Ἦχος πλ. δ'. Ὢ, τοῦ παραδόξου θαύματος!***

Ἄστρον νεαυγές, Πορφύριε,
τῶν ἀρετῶν σου φωτὶ
καὶ ἠθῶν σου πυρσεύμασι
δῆμον τὸν χριστώνυμον
νεωστὶ κατεφώτισας·

www.tezaurliturgic.ro

διὸ τὴν μνήμην
τὴν σὴν γεραίροντες
ἀποστασίας
ἐκδυσωποῦμέν σε
σκέδασον ζόφωσιν
καὶ ἡμῖν ἀνάτειλον
ταῖς σαῖς εὐχαῖς
ἦμαρ ἐπιγνώσεως
Θεοῦ σωτήριον.

Ἄνθος εὐθαλές, Πορφύριε,
τὸ ἐν Εὐβοίᾳ φυέν,
ἀενάοις ἀσκήσεσι
καὶ εὐχῇ ἐβλάστησας
ἀπαθείας ἡδύοσμον
ἐν ἐρημίαις
τοῦ ὄρους Ἄθωνος
καὶ ἐν τῷ κόσμῳ
σοφῶς ἀσκούμενος
ἄρτι κατηύφρανας
εὐωδίαις λόγων σου τοὺς εὐλαβῶς
ὡς ἐν κήπῳ χάριτος
σοὶ καταφεύγοντας.

Σκεῦος ἐκλογῆς, Πορφύριε,
χαρίτων θείων πλησθεὶς
προεγίγνωσκες ἅπαντα,
πάτερ, τὰ ἐσόμενα
καὶ ψυχῶν τὰ ἐνδότερα
ὡς ἐν ὀθόνῃ
σαφῶς διέβλεπες·
διό σε πάντες
τιμῶντες κράζομεν·
πλῆσον τῇ χάριτι
τῇ δοθείσῃ ἄνωθέν σοι δαψιλῶς
ὑγιείας ἅπαντας
τοὺς σοὶ προσφεύγοντας.

www.tezaurliturgic.ro

Πάτερ ἱερέ, Πορφύριε,
εὐκλείας θείας Χριστοῦ
καὶ τῆς αἴγλης τῆς κρείττονος
ὑπὲρ πᾶσαν ἔννοιαν
ἀπολαύων ἐν δώμασι
τοῖς οὐρανίοις
ἀπαύστως πρέσβευε
Χριστῷ διδόναι
ἡμῖν μετάνοιαν
καὶ πάσης ῥύεσθαι
συμφορᾶς τοὺς σπεύδοντας
σῇ ἀρωγῇ
καὶ θερμὴν ἀντίληψιν
ἐκδεχομένους σου.

**Δόξα. Ἦχος πλ. δʹ.**

Τῶν θεοφόρων ὁσίων ἡ ὁμήγυρις
ἀρτίως προσεδέξατό σε ἐν οὐρανίοις θαλάμοις,
ἡγιασμένε πάτερ ἡμῶν, Πορφύριε·
εὐσεβῶν δὲ τὰ συστήματα,
ὡς ἀληθοῦς ὁσιότητος θεοτυπώτου στήλης,
τὴν ἔξοδόν σου ἐκ τοῦ κόσμου τούτου
ἐξύμνησαν λέγοντα·
ταπεινώσεως ἔμπνουν παράδειγμα,
πρέσβευε τῷ ἐλεήμονι Θεῷ
ἐπομβρίσαι ἡμῖν οὐρανόθεν ἀφθόνως
ὑετὸν θείας χάριτος.

**Καὶ νῦν. Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι....
**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις**

www.tezaurliturgic.ro

# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ' καὶ ἡ στ' ᾠδή.**

***Ἀπόστολος. Πρὸς Γαλάτας (κεφ. ε' 22-στ' 2).***
Ἀδελφοί, ὁ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη..
**Ζήτει τῇ ε' Δεκεμβρίου**

***Εὐαγγέλιον κατά Ματθαῖον (κεφ. ια' 27-20).***
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπό τοῦ Πατρός μου...
**Ζήτει τῇ ε' Δεκεμβρίου.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.**

**Μεγαλυνάριον.**

Χαίροις, ὁ χαρίτων πλησθεὶς πολλῶν
ἐν ἐσχάτοις χρόνοις
καὶ ἰθύνας πιστοὺς καλῶς
πρὸς λειμῶνας θείους,
ἀστὴρ θεοσοφίας
καὶ ἀκραιφνοῦς ἀγάπης,
πάτερ Πορφύριε.

**Δίστιχον.**

Ἴθυνον, Πορφύριε, νομὰς πρὸς θείας
σὲ εὐμοιρήσαντα γνῶναι Χαραλάμπη.

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΑΡΤΙΩΣ ΕΚΛΑΜΨΑΝΤΑ ΠΝΕΥΜΑΤΕΜΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΠΟΡΦΥΡΙΟΝ

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς:**

***Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.***

Τῷ νεοφώτῳ Ἐκκλησίας φωστῆρι
τῷ διαλάμψαντι ἀκτῖσιν ἐνθέου
σοφίας, διακρίσεως, ἀόκνου εὐχῆς,
συμπαθείας, νήψεως καὶ ἀφάτου ἀγάπης,
ἅπαντες προσπέσωμεν ἀνακράζοντες πίστει·
ὑπὲρ ἡμῶν, Πορφύριε, Χριστῷ
μὴ διαλίπῃς πρεσβεύων ἑκάστοτε.

**Δόξα. Τὸ αὐτό.**
**Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

www.tezaurliturgic.ro

**Εἶτα ὁ Ν' Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:**

**"Ταπεινώσεως πλῆσόν με, Πορφύριε, θείας. Χ."**

**Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.**

Ταμεῖον ἀδάπανον ἀρετῶν
καὶ πύρσευμα θείας
ταπεινώσεως νευαγές,
Πορφύριε, φεύγειν Φαρισαίου
ὑψηγορίαν δεινήν με ἀξίωσον.

Ἀπαύγασμα νέον τῆς ἐν Χριστῷ
καινῆς πολιτείας,
σκοτομήνην ἡμῶν παθῶν,
Πορφύριε, σκέδασον λιταῖς σου
πρὸς τὸν Χριστόν, φωτοπάροχον Κύριον.

Πατέρων ἀκρότης θεοφιλῶν,
Πορφύριε μάκαρ,
εὐσεβούντων κατευθυντὴρ
πληθύος πρὸς δόμους οὐρανίους,
αὐτῶν ἡμᾶς οἰκιστὰς δεῖξον, ὅσιε.

Ἐπίσταξον πᾶσι ταῖς σαῖς λιταῖς
ὑψόθεν ἐλέους
τοῦ Παντάνακτος καὶ Θεοῦ
ῥανίδας τοῖς σὲ ἀεὶ τιμῶσιν
ὡς συμπαθείας νεφέλην, Πορφύριε.

**Θεοτοκίον.**

Ἰλύος με κάθαρον τῶν παθῶν,
Κεχαριτωμένη
Θεοτόκε, ὡς ἂν στολὴν
λαμπρὰν καὶ χιτῶνα ἀφθαρσίας
περιβληθῶ ὁ πολύτλας οἰκέτης σου.

www.tezaurliturgic.ro

### Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Νοσηροὺς λογισμούς μου
καὶ ἀπρεπεῖς σκέδασον
τῷ φωτὶ τῆς σῆς προστασίας,
πάτερ Πορφύριε,
καὶ τὰς θυρίδας νοὸς
ἀσφάλισόν μου τὰς πέντε,
ἵνα μὴ μολύνῃ με
ὁ πολυμήχανος.

Ὡς λαμπτὴρ συμπαθείας
νεολαμπής, ὅσιε,
κόσμον κατεφώτισας ἄρτι
τὸν σοὶ προσφεύγοντα
καὶ ἐκζητοῦντα τὰς σὰς
πρὸς τὸν θεῖον ἱκεσίας,
ἀσκητὰ Πορφύριε,
θεοειδέστατε.

Στηριγμὸς ἀδυνάτων
σῶν ἱκετῶν ἄσειστος
ἐποφθείς, Πορφύριε μάκαρ,
καὶ καταφύγιον
χειμαζομένων δεινῶς
ἡμῶν λιτὰς μὴ παρίδῃς
νῦν ἐκδεχομένων σου
θείαν βοήθειαν.

**Θεοτοκίον.**

Εὐμενῶς τὰς αἰτήσεις
σῶν οἰκετῶν, Δέσποινα,
πρόσδεξαι καὶ ταύτας σῷ θείῳ
Τόκῳ προσάγαγε,
Θεοκυῆτορ ἁγνή,
εὐλογημένη Μαρία,
ὡς θερμὴ μεσίτρια
κόσμου καὶ πρέσβειρα.

www.tezaurliturgic.ro

Διάσωσον
ἀπὸ κινδύνων, προγνώσεως ἐκμαγεῖον
καὶ χαρίτων τῶν τοῦ Θεοῦ, Πορφύριε, ἔσοπτρον,
τοὺς σπεύδοντας πόθῳ ταῖς σαῖς πρεσβείαις.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

***Αἴτησις καὶ τὸ Κάθισμα,***
***Ἦχος β΄. Πρεσβεία θερμή.***

Θαυμάτων πηγὴν ἀείρρυτον δοξάζων σε
Χριστὸς ὁ Θεὸς ἀνέδειξε, Πορφύριε,
ἐξ ἧς ἀρυόμενοι
δαψιλῶς ἰάσεων νάματα
ἀναβοῶμεν· Χαῖρε, ἀσκητά,
νεόδμητον κόσμου περιτείχισμα.

**Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Ὡς ἀστὴρ διοράσεως
λάμψας ἐν ἐσχάτοις καιροῖς, Πορφύριε,
τὴν ψυχήν μου φωταγώγησον
μόνον ἐκζητεῖν Θεὸν τὸν εὔσπλαγχνον.

Στηλογράφημα νήψεως,
ψυχικῆς εἰρήνης καὶ ταπεινώσεως,
ἀσκητὰ Θεοῦ, Πορφύριε,
νήφειν με ἀξίωσον σὸν πρόσφυγα.

Πολεμούμενον πάθεσι
ζοφεροῖς εἰρήνευσον τὸν τιμῶντά σε
ὡς τοῦ πλάνου πολεμήτορος
ὀλετῆρα, ὅσιε Πορφύριε.

www.tezaurliturgic.ro

### Θεοτοκίον.

Λύπης σκέδασον, Δέσποινα,
ζόφον τυραννοῦντά με ταῖς ἐντεύξεσι
Πορφυρίου τοῦ θεόφρονος
καὶ χαρᾶς πυρσεύμασί με αὔγασον.

### Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἤρεμον, σοφέ,
βίον ἄγειν με ἀξίωσον
καὶ ἀτάραχον, Πορφύριε, βοῶ,
ἀπὸ πάσης ἐπηρείας τοῦ ἀλάστορος.

Στῦλος ἀρετῆς
πεφηνὼς ἀρτίως, ὄλβιε,
ὑποστήριξον ἀγῶνας τοὺς ἡμῶν
ἀρετῆς πρὸς κτῆσιν, ἔνθεε Πορφύριε.

Ὄμβρον δωρεῶν
οὐρανόθεν μοι ἐπίσταξον
θείου Πνεύματος καὶ δρόσισον ψυχὴν
ἀμπλακήμασι πυρέσσουσαν, Πορφύριε.

### Θεοτοκίον.

Νέου ἀσκητοῦ
Πορφυρίου ἀγαλλίαμα,
τὰ ἐντάλματα τηρῆσαι σοῦ Υἱοῦ
καὶ Θεοῦ ἡμῶν ἀξίωσον σοὺς πρόσφυγας.

### Ὠδὴ στ΄. Τὴν δέησιν.

Μελίσμασι μυστικοῖς τὴν μνήμην σου
τὴν πανίερον τιμῶντες βοῶμεν·
ὁ ἀρωγὸς τεθλιμμένων καὶ ῥύστης
καὶ ἰατὴρ δαιμονώντων ταχύτατος,
ἀπάλλαξόν με τῶν παθῶν
τρυχομένων δεινῶς με, Πορφύριε.

www.tezaurliturgic.ro

Ἐπίσκεψαι ἐπικαλουμένους σε
καὶ σὴν θείαν αἰτουμένους πρεσβείαν
καὶ δὸς ἡμῖν σθένος τρῶσαι τὸν πλάνον
ἀγάπης ἔργοις καὶ πίστει, Πορφύριε,
ὁ τῇ μαχαίρᾳ προσευχῆς
ἀρχεκάκου συγκόψας τὸ φρύαγμα.

Πορφύριε, ποταμὲ νεόῤῥυτε
θαυμασίων, τὰς ἀνίκμους καρδίας
ἡμῶν κατάρδευσον, σημειοφόρε,
ῥανίσι σῶν πρὸς τὸν Κτίστην ἐντεύξεων,
ἵνα τὴν χάριν σου ἀεὶ
μεγαλύνωμεν πάντες γηθόμενοι.

**Θεοτοκίον.**

Ὁδήγησον πρὸς νομὰς τοὺς δούλους σου
εὐφροσύνης καὶ χαρᾶς αἰωνίου
τοῦ Πορφυρίου θερμαῖς ἱκεσίαις,
Θεοκυῆτορ ἁγνή, Ὁδηγήτρια,
ὡς ἂν σε ὕμνοις μελιχροῖς
εἰς αἰῶνας λαμπρῶς μεγαλύνωμεν.

Διάσωσον
ἀπὸ κινδύνων, προγνώσεως ἐκμαγεῖον
καὶ χαρίτων τῶν τοῦ Θεοῦ, Πορφύριε, ἔσοπτρον,
τοὺς σπεύδοντας πόθῳ ταῖς σαῖς πρεσβείαις.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Αἴτησις καὶ τὸ Κοντάκιον.**

***Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.***

Τῆς ταπεινώσεως ἔμπνουν θησαύρισμα
καὶ ἀρετῆς φιλοθέου διδάσκαλον,
Πορφύριον νέον, τιμήσωμεν

www.tezaurliturgic.ro

ὡς θαυμασίων φανὸν τὸν νεόφωτον
αὐτοῦ τὰς λιτὰς ἐξαιτούμενοι.

**Προκείμενον.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος
τοῦ Ὁσίου Αὐτοῦ.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.
**Εὐαγγέλιον Ματθ. ια' 27-30.**

**Δόξα.** Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον...

**Προσόμοιον.**

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

***Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.***

Βλάστημα περίδοξον
ἁγιοτόκου Εὐβοίας,
Ἀττικῆς ἡδύτερπνον
ἄνθος καὶ τοῦ Ἄθωνος
σεμνολόγημα,
πάτερ Πορφύριε,
μύροις σῶν χαρίτων
κατεμύρισας τὰ πέρατα
καὶ πάντας ηὔφρανας
ἄρτι εὐωδίᾳ τῶν λόγων σου·
διὸ πιστῶν οἱ σύλλογοι
νῦν ἀποζητοῦντες τὰς σὰς πρεσβείας
ἐκβοῶμεν· ῥῦσαι
ἡμᾶς ἐπηρειῶν τοῦ δυσμενοῦς,
ἀῤῥωστημάτων, κακώσεων
καὶ παντοίων θλίψεων.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

www.tezaurliturgic.ro

## Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ῥοῦν κακίας μου, πάτερ,
κατακλύζοντα, οἴμοι,
ψυχῆς μου αὔλακας
εἰς τέλος πρεσβειῶν σου
δυνάμει τῶν ἐνθέρμων
καταξήρανον, ὅσιε,
κοσμῆτορ τῆς ἀρετῆς,
Πορφύριε παμμάκαρ.

Φθόνου, πάτερ, κινδύνων,
ἀλγηδόνων παντοίων
καὶ περιστάσεων,
Πορφύριε θεόφρον,
τοὺς καταφεύγοντάς σοι
ἀσινεῖς διαφύλαττε,
ἀκτημοσύνης εἰκὼν
καὶ ἀπαθείας ὄλβε.

Ὑπερόπτας γηΐνων
τοὺς ἱκέτας σου δεῖξον,
κλεινὲ Πορφύριε,
ὁ εἰληφὼς τὴν χάριν
τὰ μέλλοντα προλέγειν
καὶ ψυχῶν τὰ ἐνδότερα
γιγνώσκειν, ὡς τῶν φθαρτῶν
ἁπάντων ὑπερόπτης.

**Θεοτοκίον.**

Ῥύπον πλῦνον ψυχῆς μου
πρεσβειῶν σου ὑσσώπῳ,
Θεοχαρίτωτε,
Κυρία Θεοτόκε,
καὶ ἄφεσιν πταισμάτων
ἱκεσίαις σου δίδου μοι,
ἵνα Χριστῷ σῷ Υἱῷ
εἰλικρινῶς δουλεύσω.

www.tezaurliturgic.ro

### Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ἱερωσύνης ἐνδεδυμένος ποδήρη
καὶ ἀγγέλων μιμούμενος βίον
εἴληφας τὴν χάριν
ἡμᾶς ὑψόθεν σκέπειν.

Ἔγνωμεν πάντες θεραπευτήν σε τῶν νόσων·
ὅθεν πίστει, Πορφύριε, τάχος
σπεύδομεν ἐνθέρμοις
πρὸς τὸν Χριστὸν λιταῖς σου.

Θαυμάτων ὤφθης ἐν τοῖς ἐσχάτοις τοῖς χρόνοις
πολυχεύμων χειμάῤῥους καὶ κρήνη
θεία ἰαμάτων,
Πορφύριε θεόφρον.

### Θεοτοκίον.

Ἐν τρικυμίαις καὶ καταιγίσι τοῦ βίου
ἴσθι σκέπη ἡμῶν, Θεοτόκε,
καὶ ἀπλανεστάτη,
Παρθένε, κυβερνῆτις.

### Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἰάσεων ταμεῖον
ζῶν καὶ μετὰ πότμον,
πνευματοφόρε Πορφύριε, πέφανσαι
καὶ νοσημάτων παντοίων ἀλεξιτήριον.

Ἁγίως διανύσας
τὴν ζωήν σου, πάτερ
καθαγιάζεις ἀπαύστως, Πορφύριε,
τοὺς ἀνυμνοῦντας τοῦ βίου σου τὰ παλαίσματα.

Σωμάτων τὰς ὀδύνας
καὶ ψυχῶν τὰς νόσους
σαῖς ἱκεσίαις ἡμῶν ἐπικούφισον
ὡς ἰατρῶν ἀναργύρων βαλβίς, Πορφύριε.

www.tezaurliturgic.ro

**Θεοτοκίον.**

Χαρίτωσον, Παρθένε,
σὲ τοὺς ἀνυμνοῦντας
ὡς τοῦ Δεσπότου Χριστοῦ ἀνακτόριον
περικαλλές, Πορφυρίου τοῦ νέου σέμνωμα,

Ἄξιόν ἐστι... **καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Χαίροις, διοράσεως ὁ κανών,
χαίροις, συμπαθείας
καὶ ἀγάπης ὁ θησαυρός,
χαίροις, ὁ ἀρτίως
εὐχῇ καὶ διακρίσει
ὡς ἥλιος ἐκλάμψας,
πάτερ Πορφύριε.

Τὸν ἱεροφάντορα τὸν σεμνόν,
τὸν πεποικιλμένον
θείου Πνεύματος δωρεαῖς,
στέψωμεν ἐκθύμως
μελίσμασιν ἐνθέοις,
Πορφύριον, Κυρίου
φίλον τὸν γνήσιον.

Τέλος τοῦ σοῦ βίου σαφῶς προγνοὺς
ἦλθες εἰς τὸν Ἄθω,
ἵνα φύγῃς τῶν χοϊκῶν
ἔπαινον καὶ ὕπνον
ἐμπρέποντα ὁσίοις
ἐν τούτῳ ἐκοιμήθης
ἄρτι, Πορφύριε.

Χαίροις, ὁ ταχύτατος βοηθὸς
τῶν ἐμπεριστάτων,
τεθλιμμένων ἡ χαρμονή,
τῶν ἀδικουμένων
προστάτης καὶ νοσούντων
θεραπευτὴς ὁ θεῖος,
μάκαρ Πορφύριε.

www.tezaurliturgic.ro

Χαίροις, ὁ δυνάμενος ὁδηγεῖν
σῶν εὐχῶν πυξίδι
πεζοπόρους τοὺς τῆς ζωῆς
πρὸς χαρᾶς λειμῶνας,
Πορφύριε θεόφρον,
ψυχῶν οἰακοστρόφος
ὁ ἀπλανέστατος.

Χαίροις, ὁ χαρίτων πλησθεὶς πολλῶν
ἐν ἐσχάτοις χρόνοις
καὶ ἰθύνας πιστοὺς καλῶς
πρὸς λειμῶνας θείους,
ἀστὴρ θεοσοφίας
καὶ ἀκραιφνοῦς ἀγάπης,
πάτερ Πορφύριε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**

***Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.***

Προγιγνώσκειν τὸ μέλλον
σοφῶς, Πορφύριε,
ὡς ἀντιμίσθιον πόνων
καὶ βιοτῆς εὐσεβοῦς
χάριν δέδωκέ σοι ἄνωθεν ὁ Κύριος·
ἄνθος Εὐβοίας ἱερόν,
ἐκ τοῦ Ἄθω μυστικῶς
πρὸς κήπους μετεφυτεύθης
ἀλήκτου δόξης πρεσβεύειν
Χριστῷ ὑπὲρ τῶν εὐφημούντων σε.

www.tezaurliturgic.ro

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς:

*Ἦχος δ'. Ὅτε ἐκ τοῦ Ξύλου.*

Ἄστρον ἀρετῶν νεολαμπές,
φρυκτωρὲ σεμνῆς πολιτείας
καὶ λαμπηδὼν ἀκραιφνοῦς
νήψεως, Πορφύριε,
ἡμῶν σκοτόμαιναν
ἁμαρτίας διάλυσον
εὐχῶν σου τῷ φάει
καὶ χαρίτων λάμψεσι
τῶν σῶν καταύγασον
μύχια ἡμῶν τῆς καρδίας,
ἵνα ὡς προστάτην καὶ ῥύστην
ἐκ δεινῶν ἀεί σε μεγαλύνωμεν.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δίστιχον
Παθῶν, Πορφύριε, διάλυσον ζόφον
Χαραλάμπους σπεύδοντος τῇ ἀρωγῇ σου.

www.tezaurliturgic.ro

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ ΕΙΣ ΤΟΝ ΑΡΤΙΩΣ ΕΚΛΑΜΨΑΝΤΑ ΠΝΕΥΜΑΤΕΜΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΠΟΡΦΥΡΙΟΝ

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

***Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.***

Τὸν ἀφθαρσίας τὴν πορφύραν ἐνδυσάμενον
χριστοφιλήτου ἀγωγῆς ὡς ἀντιμίσθιον
τῆς αὐτοῦ ἐν τοῖς ἐσχάτοις τοῖς χρόνοις πόθῳ
εὐφημήσωμεν, νῦν λύχνον διακρίσεως
καὶ λαμπάδα προοράσεως ὑπέρφωτον,
ἀνακράζοντες· Χαίροις, μάκαρ Πορφύριε.

**Οἱ Οἶκοι**

Ἄνερ σημειοφόρε,
δαψιλῶς ὁ ἑλκύσας
τοῦ Πνεύματος, Πορφύριε, χάριν, (ἐκ γ')
ὥσπερ κάτοπτρον ἡλιακόν,
καὶ θερμάνας πάντων τὰς ψυχὰς λόγοις σου,
ἱκέτευε τὸν Κύριον
ὑπὲρ τῶν εὐλαβῶς βοώντων·

Χαῖρε, ἡ αὔρα τοῦ Παρακλήτου·
χαῖρε, ἡ ἅρπα ζωῆς ἀλήκτου.

Χαῖρε, νεαυγὲς Ἐκκλησίας ἀπαύγασμα·
χαῖρε, φωταυγὲς ἐγκρατείας ἐκπύρσευμα.

www.tezaurliturgic.ro

Χαῖρε, σκεῦος θείας χάριτος διαυγὲς καὶ καθαρόν·
χαῖρε, ἄνθος ἁγιότητος μυροβόλον καὶ τερπνόν.

Χαῖρε, ὅτι ἐδείχθης ταπεινώσεως κέρας·
χαῖρε, ὅτι ὑπάρχεις διοράσεως γέρας.

Χαῖρε, πιστῶν νεότευκτον ἔρεισμα·
χαῖρε, πολλῶν νοσούντων τὸ ἴαμα.

Χαῖρε, δι' οὗ εὐσεβεῖς κραταιοῦνται·
χαῖρε, δι' οὗ μωρολόγοι τροποῦνται·

**Χαίροις μάκαρ Πορφύριε.**

Βρύσις κιρνῶσα πᾶσι
διειδέστατον ὕδωρ
ἀμείνονος ζωῆς ἀνεδείχθης,
ἐξ ἧς ἔσπευδον πάντες πιεῖν
καὶ τὴν δίψαν σβέσαι τῶν παθῶν, ὅσιε
Πορφύριε, οἱ ψάλλοντες
Χριστῷ τῷ Ζωοδότῃ πίστει·

**Ἀλληλούϊα.**

Γάνυται σοῖς σπαργάνοις
Ἰωάννου ἁγίου
ἡ κώμη ἐν τῇ νήσῳ Εὐβοίᾳ,
ἐν ᾗ πρῶτον ἡλίου τὸ φῶς
ἐθεάσω, πάτερ, ἀρετῶν ἥδιστον,
Πορφύριε, κιννάμωμον,
καὶ πόθῳ σοι κραυγάζει ταῦτα·

Χαῖρε, τὸ ἕρκος τῆς εὐσεβείας·
χαῖρε, τὸ ἔρνος τῆς Καρυστίας.

Χαῖρε, εὐθαλέστατε κέδρε ἀσκήσεως·
χαῖρε, τιμαλφέστατε ὄλβε συνέσεως.

Χαῖρε, ἦμαρ νεαυγέστατον ἀενάου προσευχῆς·
χαῖρε, φρέαρ ἀδαπάνητον συμπαθείας πατρικῆς.

www.tezaurliturgic.ro

Χαῖρε, θεῖε κοσμῆτορ τῆς Χριστοῦ Ἐκκλησίας·
χαῖρε, ὁ παρακλήτωρ χριστωνύμου χορείας.

Χαῖρε, λαμπὰς Θεοῦ ἐπιγνώσεως·
χαῖρε, ψεκὰς σοφίας τῆς κρείττονος.

Χαῖρε, σεμνῶν ἱερέων τὸ κλέος·
χαῖρε, πολλῶν ἀδυνάτων τὸ σθένος·

**Χαίροις, μάκαρ Πορφύριε.**

Δύναμιν οὐρανόθεν
εἰληφὼς τῶν προσύλων
ἁπάντων ὑπερόπτης ἐδείχθης
καὶ ἀΰλων θερμὸς ἐραστής,
ζηλωτὰ τῶν πάλαι ἀσκητῶν· ὅθεν σε,
Πορφύριε, γεραίροντες
κραυγάζομεν ἐν κατανύξει·

**Ἀλληλούϊα.**

Εὕρατο Ἐκκλησία
τοῦ Χριστοῦ ἡ ἁγία,
Πορφύριε, σὲ καύχημα νέον
καὶ οἱ δῆμοι πιστῶν ποδηγὸν
ἀπλανῆ πρὸς βίον ἀληθῶς κρείττονα·
διό σε πάντες μέλποντες
ἐκθύμως σοι βοῶμεν ταῦτα·

Χαῖρε, ἀζύγων ἡ θυμηδία·
χαῖρε, ὁσίων ἡ εὐκοσμία.

Χαῖρε, τῆς ἀγάπης Χριστοῦ καλλιέρημα·
χαῖρε, τῆς ἀπάτης ἐχθροῦ νέον σύντριμμα.

Χαῖρε, ἔρεισμα ἀκράδαντον φιλαρέτου ἀγωγῆς·
χαῖρε, σέμνωμα θεότευκτον ἐπιπνοίας θεϊκῆς.

Χαῖρε, οἰακοστρόφος σταθηρὸς σῶν προσφύγων·
χαῖρε, ὁ οἰκονόμος τῶν Χριστοῦ μυστηρίων.

www.tezaurliturgic.ro

Χαῖρε, κανὼν σεπτῶν ἀναβάσεων·
χαῖρε, σοφῶν πατέρων ἀρχέτυπον.

Χαῖρε, κρουνὸς δωρημάτων παντοίων·
χαῖρε, πυρσὸς συμπαθείας μερόπων·

**Χαίροις, μάκαρ Πορφύριε.**

Ζόφωσιν συναφείας
κοσμικῆς ἀπελάσας
Χριστοῦ τῆς ἀγαπήσεως φέγγει
μονοτρόπων ἡνώθης χοροῖς
Καυσοκαλυβίων τῆς σεπτῆς Σκήτεως
ἐν Ἄθωνι, Πορφύριε,
μεθ' ὧν ἀδιαλείπτως ᾖδες·

**Ἀλληλούϊα.**

Ἤσκησας θεαρέστως
ἐν Ἁγίῳ τῷ Ὄρει
ὑπείκων γηθοσύνως τοῖς λόγοις
τῶν Γερόντων καλύβης τῆς σῆς·
ὅθεν διαβλέπειν τὰ κρυπτά, ὅσιε
Πορφύριε, ἠξίωσαι
προσφύγων σου βοώντων ταῦτα·

Χαῖρε, τὸ ἄνθος τῆς ἐρημίας·
χαῖρε, τὸ φάος τῆς καρτερίας.

Χαῖρε, ζηλωτὴς ἰσαγγέλου βιώσεως·
χαῖρε, ἐραστὴς ἐν Χριστῷ τελειώσεως.

Χαῖρε, σῦριγξ οὐρανόφωνος σωστικῆς ὑπακοῆς·
χαῖρε, κῶδιξ εὐανάγνωστος προσευχῆς καρδιακῆς.

Χαῖρε, ὁ ἐν τῷ Ἄθῳ θεαρέστως βιώσας·
χαῖρε, ὁ τῆς ἀγήρω εὐφροσύνης ποθήσας.

Χαῖρε, τῶν σῶν Γερόντων ἀνάψυξις·
χαῖρε, σεπτῶν ὁσίων ἀνάδειξις.

www.tezaurliturgic.ro

Χαῖρε, φαιδρότης Καυσοκαλυβίων·
χαῖρε, λαμπρότης σκηνῶν οὐρανίων·

**Χαίροις, μάκαρ Πορφύριε,**

Θεία παραχωρήσει
προσβληθεὶς ὑπὸ νόσου
βαρείας ἐκ τοῦ Ἄθω ἐξῆλθες
καὶ κατέλαβες τὴν τῶν Λευκῶν,
Χαραλάμπους μάκαρος, μονήν, ὅσιε,
ἐν ᾗ βοᾶν οὐκ ἔπαυσας,
Πορφύριε, τῷ Παντεπόπτῃ·

**Ἀλληλούϊα.**

Ἴσχυσας παλαμναίου
τὴν ὀφρὺν ἐδαφίσαι,
Πορφύριε, ἀτρύτοις σου πόνοις
καὶ αὐγάσαι ὡς θεία λαμπὰς
ἀρετῶν καὶ βίου ἀκραιφνοῦς ἅπαντας
πιστούς σοι ἀνακράζοντας
ἐφέσει ὁλικῇ τοιαῦτα·

Χαῖρε, σοφίας Θεοῦ δοχεῖον·
χαῖρε, προνοίας Αὐτοῦ ταμεῖον.

Χαῖρε, ὁ βαδίσας ὁσίων τοῖς ἴχνεσι·
χαῖρε, ὁ ἐκλάμψας ἐνθέοις χαρίσμασι.

Χαῖρε, ὕψος θείας γνώσεως τὸ εἰς πόλον ἀνυψοῦν·
χαῖρε, βάθος ταπεινώσεως τὸν Βελίαρ ταπεινοῦν.

Χαῖρε, τοῦ μισοκάλου ὁ συντρίψας τὰς πάγας·
χαῖρε, τοῦ Παρακλήτου διαπνεύσας τὰς αὔρας.

Χαῖρε, Χριστοῦ ἐρῶν ἐκ νεότητος·
χαῖρε, χοροῦ ὁσίων ὁ σύσκηνος.

Χαῖρε, παθῶν ὀλετὴρ ψυχοφθόρων·
χαῖρε, καλῶν ἀηδὼν ψυχοτρόφων·

**Χαίροις, μάκαρ Πορφύριε.**

www.tezaurliturgic.ro

Κόσμημα ἱερέων
εὐκλεῶν ἀνεδείχθης,
Πορφύριε, καὶ κλέος Γερόντων
ἀπλανῶν ἐν ἐσχάτοις καιροῖς·
σὺ γὰρ ὁδηγήσας εὐσεβῶν ἄμετρον
χορείαν εἰς ἐπίγνωσιν
διήγειρας αὐτοὺς κραυγάζειν·

**Ἀλληλούϊα.**

Λάμψας ἐν ταῖς Ἀθήναις
ὡς ἀστὴρ λαμπροφόρος,
Πορφύριε, ἀκτῖσιν ἀγάπης
πρὸς τοὺς πάσχοντας καὶ ἐνδεεῖς
τῆς καρδίας πλοῦτόν σου πιστοῖς ἔδειξας
ἀεί σε μακαρίζουσι
καὶ πόθῳ ἐκβοῶσι ταῦτα·

Χαῖρε, ὁ ἄνθραξ τῆς συμπαθείας·
χαῖρε, ἡ μάστιξ τῆς ῥαθυμίας.

Χαῖρε, χελιδὼν ἔαρ θεῖον μηνύουσα·
χαῖρε, λαμπηδὼν τοὺς ἐν σκότει φωτίζουσα.

Χαῖρε, στόμα τὸ ἀσίγητον οὐρανίων προσευχῶν·
χαῖρε, πόμα ἱερώτατον ἀναψύξεως βροτῶν.

Χαῖρε, τῆς ἀκτησίας ἡ πολύολβος κτῆσις·
χαῖρε, τῆς ἀκτησίας ἀδιάσειστος βάσις.

Χαῖρε, ὁ τείνων χεῖρα τοῖς κάμνουσι·
χαῖρε, ὁ νέμων ῥῶσιν τοῖς πάσχουσι.

Χαῖρε, πηγὴ ἁγιάσματος θείας·
χαῖρε, πτυχὴ τῆς Χριστοῦ εὐσπλαγχνίας·

**Χαίροις, μάκαρ Πορφύριε.**

www.tezaurliturgic.ro

Μένων ἐν πολυβόῳ
ἄστει, τίμιε πάτερ,
ἐρήμου ζηλωτὰ ἡσυχίας,
ὅτι πάντων ὁ τρόπος ζωῆς
καὶ οὐχὶ ὁ τόπος τὰς ψυχὰς ἔδειξας
πτεροῖ πρὸς τὸν Παντάνακτα,
Πορφύριε, τῶν ἐκβοώντων·

**Ἀλληλούϊα.**

Νύκτα, πρωΐαν, πάτερ,
μεσημβρίαν, ἑσπέραν,
Πορφύριε, καὶ ἅπασαν ὥραν
προσευχόμενος νύκτα παθῶν
τὴν τὸν νοῦν μερόπων, θαυμαστὲ ὅσιε,
σκοτίζουσαν ἀπέβαλες·
διό σοι νῦν ἡμεῖς βοῶμεν·

Χαῖρε, παρόπτα τῶν ἐπιγείων·
χαῖρε, ἐπόπτα τῶν οὐρανίων.

Χαῖρε, ὁ ἀπαύστως Κυρίου δεόμενος·
χαῖρε, ὁ ἀόκνως χερσὶν ἐργαζόμενος.

Χαῖρε, ἔσοπτρον νεόσμηκτον τῆς ἀγγέλων βιοτῆς·
χαῖρε, στέφανον ἀνθόπλοκον ὁ λαβὼν ἐν οὐρανοῖς.

Χαῖρε, τῆς θεαυγείας τῆς ἀΰλου θεάμων·
χαῖρε, χοροστασίας ἀσκητῶν προεξάρχων.

Χαῖρε, σεπτῶν ἀζύγων τὸ στέλεχος·
χαῖρε, πολλῶν ῥαθύμων ὁ ἔλεγχος.

Χαῖρε, μορφὴ ἱλαρότητος πλήρης·
χαῖρε, τερπνὴ ἀγαθότητος βρύσις·

**Χαίροις, μάκαρ Πορφύριε.**

www.tezaurliturgic.ro

Ξένων θαυμάτων ὤφθης
πολυχεύμων χειμάῤῥους,
Πορφύριε, ὁ πᾶσαν τὴν κτίσιν
καταρδεύσας ἀρτίως ῥοαῖς
ἰαμάτων, πάτερ, δαψιλῶν ἄνωθεν,
τὴν νῦν σε μεγαλύνουσαν
καὶ κράζουσαν ἐν κατανύξει·

**Ἀλληλούϊα.**

Ὅρμον τῶν ποντουμένων
τῇ θαλάσσῃ τοῦ βίου,
Πορφύριε, τὴν τῶν Καλλισίων
μάνδραν καὶ Μηλεσίου, σεπτὸς
ἧς ὑπῆρξες κτίτωρ, ἀσκητά, ἔδειξας,
ἰθύνας πρὸς οὐράνιον
λιμένα τοὺς πιστῶς βοῶντας·

Χαῖρε, οἰκῆτορ τῶν Καλλισίων·
χαῖρε, ἀκέστορ τῶν πενομένων.

Χαῖρε, Θαβωρίου ὁ φῶς θεασάμενος·
χαῖρε, τοῦ Κυρίου τῆς δόξης συμμέτοχος.

Χαῖρε, μάνδραν ὅτι ἤγειρας τῷ Σωτῆρι τῶν ψυχῶν·
χαῖρε, πᾶσαν ὅτι ηὔφρανας τὴν χορείαν τῶν βροτῶν.

Χαῖρε, ὅτι ῥυθμίζεις τὴν ζωὴν σῶν προσφύγων·
χαῖρε, ὅτι ἐκλύεις τὴν ἰσχὺν δαιμονίων.

Χαῖρε, πιστῶν ἰθύντωρ πρὸς θέωσιν·
χαῖρε, πολλῶν πυξὶς πρὸς τελείωσιν.

Χαῖρε, φανὸς τηλαυγὴς ἐγκρατείας·
χαῖρε, κρουνὸς ἀσθενῶν ἰατρείας·

**Χαίροις, μάκαρ Πορφύριε.**

www.tezaurliturgic.ro

Πάντων τῶν θεοφόρων
Ἐκκλησίας πατέρων
ὑπέρτερος, Πορφύριε, ὤφθης·
διὸ εἰς τῶν ἰχνῶν σου ὀσμὴν
πᾶσαι τῶν μερόπων στρατιαὶ ἔδραμον
ὡς ἄρνες, πάτερ, ἄκακοι
βοῶντες τῷ Χριστῷ ἐν πίστει·

**Ἀλληλούϊα.**

Ῥάβδῳ τῶν πρεσβειῶν σου
πλάνου διαῤῥηγνύεις
τὴν ἔπαρσιν, Πορφύριε θεῖε,
ὁ αὐτῶν διαῤῥήξας ἰσχὺν
σοῖς ἀόκνοις πόνοις, προσευχῇ, στάσεσι
παννύχοις καὶ στερήσεσι·
διό σοι ἐκβοῶμεν πάντες·

Χαῖρε, ἀλάβαστρον χαρισμάτων·
χαῖρε, κυάθιον ἰαμάτων.

Χαῖρε, κοινωνὲ τῆς ἀδύτου φαιδρότητος·
χαῖρε, ἀρωγὲ εὐσεβῶς ὁμηγύρεως.

Χαῖρε, θήκη ἡ παρέχουσα φάρμακα ἰατρικὰ·
χαῖρε, λίμνη ἀναβλύζουσα ῥεῖθρα θεραπευτικά.

Χαῖρε, σεπτῶν ἀγώνων ἱερὰ συντονία·
χαῖρε, πολλῶν θαυμάτων ταχινὴ αὐτουργία.

Χαῖρε, εὐχῆς ἡ κέδρος ἡ εὔοσμος·
χαῖρε, ἀκτὶς ἀγάπης φωτόλαμπρος.

Χαῖρε, λαοῦ εὐσεβοῦς ἀντιλήπτωρ·
χαῖρε, χοροῦ ὑμνητῶν σου συλλήπτωρ·

**Χαίροις, μάκαρ Πορφύριε.**

www.tezaurliturgic.ro

Σέμνωμα μονοτρόπων,
τῶν ἀνθρώπων τὴν δόξαν
μισῶν καὶ προορῶν τελευτήν σου
εἰς μετάνοιαν ἦλθες τὴν σήν,
ἔνθα τὸν σὸν βίον ἐπὶ γῆς, ὅσιε
Πορφύριε, τετέλεκας
ἡσύχως καὶ ὑποψελλίζων·

**Ἀλληλούϊα.**

Τύπον ὡς ἐγκρατείας,
ταπεινώσεως βάθρον
καὶ πύργον ἁγιότητος θεῖον
σέ, Πορφύριε, οἱ γηγενεῖς
ἀνυμνολογοῦμεν καὶ φαιδροῖς ᾄσμασι
σὲ στέφοντες ἑκάστοτε
βοῶμεν ὁμοφώνως ταῦτα·

Χαῖρε, προάγγελε ἐσομένων·
χαῖρε, συνέστιε τῶν Ἀγγέλων.

Χαῖρε, πρεσβευτὰ τῶν προσφύγων σου ἄγρυπνε·
χαῖρε, ζηλωτὰ τῶν κρειττόνων θερμότατε.

Χαῖρε, ἔμψυχον ὡράϊσμα ἱερέων εὐλαβῶν·
χαῖρε, πάγχρυσον διάδημα τῶν ἁγίων λειτουργῶν.

Χαῖρε, ὅτι τὴν χάριν ἰαμάτων κομίζεις·
χαῖρε, ὅτι τὴν ζάλην παθημάτων κοιμίζεις.

Χαῖρε, Θεοῦ θεράπων ἰσάγγελος·
χαῖρε, ἐχθροῦ τοῦ πλάνου ἀντίπαλος.

Χαῖρε, εἰκὼν θεϊκῶν δωρημάτων·
χαῖρε, λειμὼν θεοσόφων ῥημάτων·

**Χαίροις, μάκαρ Πορφύριε.**

www.tezaurliturgic.ro

Ὕμνοις σε μελῳδοῦμεν
τὸν θεώμενον πάντα
τὰ πόρρω ὡς ἐγγὺς καὶ τὰ βάθη
διαβλέποντα τῶν καρδιῶν
σῇ δοθείσῃ, πάτερ, ἐκ Θεοῦ χάριτι,
Πορφύριε πανεύφημε,
ψαλμοῖς δὲ ἐκβοῶμεν θείοις·

**Ἀλληλούϊα.**

Φῶς, Πορφύριε, κόσμου,
εἰ καὶ φῶς ἐσκοτίσθη
ἐν γήρατι σεπτῶν ὀφθαλμῶν σου,
κατευθῦναι τοὺς σοὺς ὁδηγοὺς
πρὸς ἀγνώστους τόπους ἀσφαλῶς ἴσχυες,
οὕς, πάτερ, ἐπισκέψασθαι
ἐπόθεις· ὅθεν σοι βοῶμεν·

Χαῖρε, τὸ φῶς τῶν πεπλανημένων·
χαῖρε, ἡ δᾶς τῶν ἐσκοτισμένων.

Χαῖρε, ὁ σαφῶς διαβλέπων τὰ μέλλοντα·
χαῖρε, ἀληθῶς ὁ θεώμενος ἄγνωστα.

Χαῖρε, δότης θείας χάριτος σοῖς ἱκέταις δαψιλής·
χαῖρε, γνώστης καταστάσεως σοὶ ἀγνώστου ἀκριβής.

Χαῖρε, τῆς Ἐκκλησίας νεοστήρικτος βάσις·
χαῖρε, ἡ τῆς Εὐβοίας θεοφώτιστος φαῦσις.

Χαῖρε, πιστῶν χαρὰ ἀνεκλάλητος·
χαῖρε, ἡμῶν μεσίτης θερμότατος.

Χαῖρε, φρουρὸς σῶν προσφύγων καὶ ῥύστης·
χαῖρε, σοφὸς μονοτρόπων ἀλείπτης·

**Χαίροις, μάκαρ Πορφύριε.**

www.tezaurliturgic.ro

Χάριν ἐπιστηρίζειν
ἀδυνάτους τῇ πίστει,
νοσοῦντας ἀλγεινῶς θεραπεύειν
καὶ διώκειν πνευμάτων ἑσμὸν
ἀκαθάρτων εὗρες, ἀσκητὰ ἔνθεε,
τῶν πόθῳ προσιόντων σοι,
Πορφύριε, καὶ ἐκβοώντων·

**Ἀλληλούϊα.**

Ψάλλειν ἐν κατανύξει
τῇ ἁγίᾳ σου μνήμῃ
ᾠδὰς χαριστηρίους, παμμάκαρ,
καταξίωσον, ἐγκρατευτά,
τοὺς χειμαζομένους καὶ δεινῶς στένοντας
ἱκέτας σου, Πορφύριε,
τοὺς πίστει σοι βοῶντας ταῦτα·

Χαῖρε, ἡ ἴασις τῶν νοσούντων·
χαῖρε, ἐξίλασις τῶν πταιόντων.

Χαῖρε, τῶν Γερόντων τῶν νέων ἐκσφράγισμα·
χαῖρε, τῶν ὁσίων πατέρων ἐναύλισμα.

Χαῖρε, φάρος τηλαυγέστατος εὐκλεῶν Ἀθωνιτῶν·
χαῖρε, στῦλος ἀῤῥαγέστατος Ἀθηναίων εὐλαβῶν.

Χαῖρε, ὁ ἀποδέκτης θεϊκῶν δωρημάτων·
χαῖρε, ὁ ὁδοδείκτης εὐσεβούντων πρὸς πόλον.

Χαῖρε, λαμπτὴρ ζωῆς ταπεινόφρονος·
χαῖρε, φωστὴρ νεόφωτος πίστεως.

Χαῖρε, λαοῦ ἐν δεινοῖς παραστάτης·
χαῖρε, ἐμοῦ ἀρωγὸς καὶ προστάτης·

**Χαίροις, μάκαρ Πορφύριε.**

www.tezaurliturgic.ro

Ὦ Πορφύριε μάκαρ,
νεαυγέστατον σέλας
τῆς θείας τοῦ Χριστοῦ Ἐκκλησίας (ἐκ γ′)
καὶ πιστῶν παμφαὲς ὁδηγὲ
πρὸς ζωὴν ἀγήρω, τὰς ἡμῶν πρόσδεξαι
δεήσεις τῶν τιμώντων σε
καὶ ὕμνοις τῷ Θεῷ βοώντων·

**Ἀλληλούϊα.**

**Καὶ αὖθις τὸ Κοντάκιον.**

***Ἦχος πλ. δ′. Τῇ Ὑπερμάχῳ.***

Τὸν ἀφθαρσίας τὴν πορφύραν ἐνδυσάμενον
χριστοφιλήτου ἀγωγῆς ὡς ἀντιμίσθιον
τῆς αὐτοῦ ἐν τοῖς ἐσχάτοις τοῖς χρόνοις πόθῳ
εὐφημήσωμεν, νῦν λύχνον διακρίσεως
καὶ λαμπάδα προοράσεως ὑπέρφωτον
ἀνακράζοντες· Χαίροις, μάκαρ Πορφύριε.

**Δίστιχον.**

Χαῖρε, Πορφύριε, ἐμοῦ εὐλογία
ναοῦ καὶ οἴκου, ἔκραξε, Χαραλάμπης.

www.tezaurliturgic.ro

# ΕΓΚΩΜΙΑ
# ΕΙΣ ΤΟΝ ΑΡΤΙΩΣ ΕΚΛΑΜΨΑΝΤΑ ΠΝΕΥΜΑΤΕΜΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΠΟΡΦΥΡΙΟΝ

**Ἀκροστιχὶς ἡ ἑξῆς·**
**"Πορφύριον ἐγκωμιάζω, τὸν ἀρτίως λάμψαντα διορατικὸν πατέρα. Χ.Μ."**

***Στάσις α΄. Ἦχος πλ. α΄. Ἡ ζωὴ ἐν τάφῳ.***

Μεγαλύνομέν σε,
τὸν ἁπλοῦν, ταπεινὸν
καὶ μειλίχιον πατέρα, Πορφύριε,
ποδηγέτην εὐσεβῶν ὡς ἀπλανῆ.

Μεγαλύνομέν σε,
ἀρετῶν θεϊκῶν
μυροθήκην τὴν ὀδμὰς ἀποπνέουσαν
οὐρανῶν, σεπτὲ Πορφύριε, χαρᾶς.

**Καὶ τὰ ἑπόμενα φέροντα τήνδε τὴν ἀκροστιχίδα·**
**"Πορφύριον ἐγκωμιάζω"**

Πορφυρίου μνήμην
τοῦ ἀρτίως ἡμῖν
ἀρεταῖς ἐπιφανέντος τιμήσωμεν,
χαίροις, κράζοντες, φωστὴρ νεολαμπές.

www.tezaurliturgic.ro

Ὁδοδείκτης θεῖος
ἐποφθεὶς τῶν πιστῶν
πρὸς τελείωσιν, Πορφύριε, ἴθυνας
τοὺς προστρέχοντας τῇ χάριτι τῇ σῇ.

Ῥαντισμῷ εὐχῶν σου
ἐκτενῶν πρὸς Θεὸν
καθαγίασον τοὺς σοὶ καταφεύγοντας,
ὁσιότητος, Πορφύριε, κρουνέ.

Φωτοφόρον σέλας
ἐν ἐσχάτοις καιροῖς
ἀνατεῖλαν, σκοτομήνην, Πορφύριε,
ἀπεδίωξας τῶν θλίψεων ἡμῶν.

Ὑμνῳδίαις θείαις
ῥαίνομέν σε, βλαστὲ
Καρυστίας, πανωραῖε Πορφύριε,
ὁ ἀνθήσας ἀρετὰς παντοδαπάς.

Ῥῦσαι κατωδύνων
συμφορῶν, ἀσκητά,
τοὺς τιμῶντάς σε, Πορφύριε ὅσιε,
μονοτρόπων ναυαγέστατε φωστήρ.

Ἱερεὺς Ὑψίστου
εὐλαβὴς καὶ σεμνὸς
πέλων χάριν Παρακλήτου προσείλκυσας
σοί, Πορφύριε παμμάκαρ, δαψιλῶς.

Ὀφλημάτων λύσιν
αἴτει δοῦναι ἡμῖν
τῷ Κυρίῳ ὑφηλίου, Πορφύριε,
εὐσυμπάθητε, ἀμάρυγμα εὐχῆς.

Νόσους θεραπεύεις
καὶ διώκεις ταχὺ
ἀσθενείας ἀφ' ἡμῶν τῇ σῇ χάριτι,
θαυματόβρυτε Πορφύριε, κλεινέ.

www.tezaurliturgic.ro

Ἐν Ἁγίῳ Ὄρει
ἐδιδάχθης καλῶς
ἡγουμένους σου, Πορφύριε, πείθεσθαι
καὶ τελεῖν ἐν σωστικῇ ὑπακοῇ.

Γῆθεν πρὸς λειμῶνας
ἀϊδίου χαρὰς
καὶ ἀλήκτου εὐφροσύνης, Πορφύριε,
συναγάλλεσθαι μετέστης Ἰησοῦ.

Καυσοκαλυβίων
οἰκιστὴς ἱερὸς
τῆς ἐν Ἄθωνι, Πορφύριε, Σκήτεως
καὶ πανόσιος κατέστης ἀσκητής.

Ὡραΐσας μόχθοις
ἐν Ἀθήναις ναὸν
τοῦ ὁσίου Γερασίμου, Πορφύριε,
λειτουργὸς αὐτοῦ ἐδείχθης θεϊκός.

Μονυδρίου κέρας
Καλλισίων σεπτόν,
ἐν αὐτῷ ἐφησυχάζων, Πορφύριε,
ἀνεπτέρους σὴν ψυχὴν εἰς οὐρανόν.

Ἰαμάτων ἄμφω
ταχινὸς ἰατρός,
τῶν ψυχῶν καὶ τῶν σωμάτων, Πορφύριε,
ἀνεδείχθης ἐν τοῖς χρόνοις τοῖς ἡμῶν.

Ἀσκητῶν ἀκρότης,
χάριν εὗρες ὁρᾶν
τὰ μακρὰν ὡς τὰ ἐγγὺς καὶ τὰ μέλλοντα
ὡς παρόντα, ὦ Πορφύριε σεμνέ.

www.tezaurliturgic.ro

### Δόξα. Τριαδικόν.

Ζάλην ἁμαρτίας,
Παναγία Τριάς,
ἀφ' ἡμῶν μακρὰν λιταῖς ἀποδίωξον
Πορφυρίου, ἀσκητοῦ νεοφανοῦς.

### Καὶ νῦν. Θεοτοκίον.

Ὦ Παρθενομῆτερ,
σῶσον πάντας ἡμᾶς
τοὺς τιμῶντας Πορφυρίου τὰ σκάμματα
ἡγουμένου σε καρδίας χαρμονήν.

### *Στάσις β'. Ἦχος πλ. α'. Ἄξιόν ἐστι.*

Ἄξιόν ἐστι,
διοράσεως διαυγεστάτην
ᾄσμασι διόπτραν, Πορφύριε,
σὲ ὑμνεῖν καὶ μεγαλύνειν ἐκτενῶς.

Ἀξιόν ἐστι
τὸ νεόφωτον τῆς Ἐκκλησίας
ἄστρον εὐφημῆσαι, Πορφύριον,
τὸ φωτίσαν πάντας θείαις ἀρεταῖς.

### Καὶ τὰ ἑπόμενα φέροντα τήνδε τὴν ἀκροστιχίδα: "Τὸν ἀρτίως λάμψαντα"

Τέμνων τῶν παθῶν
τὰς ἀκάνθας ξίφει προσευχῶν σου
ἤσκησας ἐν κόσμῳ, Πορφύριε,
ὡς ὑψίνους ἐρημίτης, ἀσκητά.

Ὅσιε, βλαστὲ
τοῦ Ἁγίου Ἰωάννου κώμης,
ἐν μονῇ Λευκῶν ἐνασκούμενος
εὐηρέστησας Χριστῷ σῇ ἀγωγῇ.

www.tezaurliturgic.ro

Νέον τιμαλφὲς
Ἐκκλησίας τοῦ Χριστοῦ ἐδείχθης
κόσμημα, Πορφύριε πάντιμε,
καὶ διάκοσμος χορείας ἀσκητῶν.

Ἄρτι εὐσεβῶν
νουθεσίαις σου ταῖς θεοσόφοις
τοὺς χορούς, Πορφύριε, ηὔφρανας
καὶ ὡδήγησας πρὸς ὅρμον ἀσφαλῆ.

Ῥάβδῳ σῶν εὐχῶν
ἐπιστήριξον τοὺς ὑμνητάς σου,
κλέος ἱερέων καὶ σέμνωμα
νέον πίστεως, Πορφύριε κλεινέ.

Τείχισον ἡμᾶς
σαῖς δεήσεσι, πνευματοφόρε,
ἵνα τοῦ παρόντος ἀνύσωμεν
βίου δίοδον, Πορφύριε, καλῶς.

Ἵνα τὰς τιμὰς
καὶ τὴν δόξαν φύγης τῶν ἀνθρώπων
ἦλθες τελευτῆσαι, Πορφύριε,
εἰς τὸ Ἅγιον τὸ Ὄρος μυστικῶς.

Ὥσπερ καθαρὸν
ταπεινώσεως καὶ ἀκτησίας
σκεῦός σε ὑμνοῦμεν, Πορφύριε,
οἱ γιγνώσκοντες σὴν θείαν ἀγωγήν.

Στῦλος ἀκλινὴς
τρυχομένων καὶ διωκομένων
ἄρτι ἀνεδείχθης, Πορφύριε,
θλιβομένων ἱερὰ καταφυγή.

Λάμψον φῶς ἡμῖν
τὸ Θαβώριον σαῖς ἱκεσίαις,
ὁ ναὸν δομήσας, Πορφύριε,
τῆς Χριστοῦ Μεταμορφώσεως λαμπρόν.

www.tezaurliturgic.ro

Αὔραν ζωτικὴν
Θείου Πνεύματος τῇ συνεργείᾳ
διαπνέεις πᾶσι, Πορφύριε,
τοῖς ἐν καύσωνί σοι σπεύδουσι πιστῶς.

Μέμνησο ἡμῶν,
διοράσεως στηλογραφία
καὶ λαμπρὰ εἰκὼν προοράσεως,
τῶν τιμώντων σε, Πορφύριε, πιστῶς.

Ψάλλοντες φαιδρῶς
τοὺς ἀγῶνάς σου πρὸς σωτηρίαν
σὲ τὸν ἐν τῷ βίῳ κρατύναντα
μεγαλύνομεν, Πορφύριε, Χριστόν.

Ἄλυπον ζωὴν
τοῖς προστρέχουσι σῇ θείᾳ σκέπῃ
δώρησαι, Πορφύριε ὅσιε,
παῤῥησίαν, ἥνπερ ἔχεις πρὸς Θεόν.

Νόων, ἀσκητά,
ἰσοστάσιος ὀφθεὶς ἀΰλων
σὺν αὐτοῖς εὐφραίνῃ, Πορφύριε,
νῦν ἐν δώμασι λαμπροῖς τῶν οὐρανῶν.

**Δόξα. Τριαδικόν.**

Τραύματα ψυχῆς,
τρισυπόστατε, μία θεότης,
οἰκετῶν πιστῶν σου ἐπούλωσον
Πορφυρίου ταῖς ἀπαύστοις προσευχαῖς.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἄσπιλε, ἁγνή,
Θεοτόκε, σῶσον τοὺς σοὺς δούλους
Πορφυρίου θείαις ἐντεύξεσιν
ἐκ δεινῶν τοῦ μισοκάλου πειρασμῶν.

www.tezaurliturgic.ro

### *Στάσις γ'. Ἦχος γ'. Αἱ γενεαὶ πᾶσαι.*

Αἱ γενεαὶ πᾶσαι
μεγαλύνομέν σε,
Πορφύριε θεόφρον.

Αἱ γενεαὶ πᾶσαι
Πορφυρίου πόνους
τιμῶμεν τοῦ ὁσίου.

**Καὶ τὰ ἑπόμενα φέροντα τήνδε τὴν ἀκροστιχίδα·**
"Διορατικὸν πατέρα. Χ. Μ."

Δυνάμει Παρακλήτου,
Πορφύριε, τοῦ θείου
ἐπάτησας τὸν πλάνον.

Ἰδεῖν Χριστὸν ἐν πόλῳ,
Πορφύριε, ἰδίοις
βλεφάροις ἠξιώθης.

Οὐρανοδρόμον, πάτερ,
διήνυσας πορείαν,
Πορφύριε, ἐν κόσμῳ.

Ῥαίνομεν σὴν μνήμην,
Πορφύριε, ᾀσμάτων
τοῖς ἡδυπνεύστοις μύροις.

Ἀθωνιτῶν πατέρων
ἐκλέϊσας χορείας,
Πορφύριε, ἀρτίως.

Ταμεῖον ἰαμάτων
ἀσύλητον ὑπάρχεις,
Πορφύριε τρισμάκαρ.

Ἱλέωσαι τὸν Κτίστην
τοῖς σὲ ὑμνολογοῦσι,
Πορφύριε, ἐκθύμως.

Καυχᾶται ἐν σῇ θείᾳ,
Πορφύριε, προνοίᾳ
ἡ τῶν μερόπων τάξις.

Οὐ παύω ἀνυμνῶν σου
καμάτων τῶν πανσέπτων,
Πορφύριε, τὸ πλῆθος.

Ναόν σε ὡς ἀμώμου
διαγωγῆς τιμῶμεν
περικαλλῆ, παμμάκαρ.

Πατέρων θεοφόρων,
Πορφύριε, ὑπάρχεις
τὸ καύχημα τὸ νέον.

Ἁγίοις συγχορεύῃ
ἐν δήμοις οὐρανίοις,
Πορφύριε, ἀπαύστως.

Τὰ μέλλοντα προέγνως
καὶ κρύφια διέγνως,
Πορφύριε, καρδίας.

Ἐμπρέποντα ὁσίοις
τὸν ὕπνον ἐκοιμήθης,
Πορφύριε, ἐν Ἄθῳ.

Ῥανίσι πρεσβειῶν σου
ἁγίασον τοὺς πόθῳ
τιμῶντας τὴν σὴν μνήμην.

Αἱ γενεαὶ πᾶσαι
Πορφύριον εἰς πάντας
τιμῶμεν τοὺς αἰῶνας.

**Δόξα. Τριαδικόν.**

Χαρᾶς ἀφθίτου πλῆσον
τοὺς σὲ δοξολογοῦντας,
Τριὰς ὑπεραγία.

www.tezaurliturgic.ro

**Καὶ νῦν. Θεοτοκίον.**

Ματαίων καὶ προσύλων,
Θεοκυῆτορ, δεῖξον
σοὺς δούλους ὑπερόπτας.

## ΕΥΛΟΓΗΤΑΡΙΑ

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με Πορφύριον ὑμνῆσαι.

Τῶν Ἀγγέλων χορεῖαι
θεασάμενοι τρόπους
σούς, Πορφύριε μάκαρ,
ἀρετῶν παντοδαπῶν
προσεγγίσεως ὅλαι
ὄντως ἐνεαὶ
μείνασαι ἐκραύγαζον·
χαῖρε, θεοφόρων
πατέρων πρότυπον.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με Πορφύριον ὑμνῆσαι.

Μύροις πάντες
ἡδυπνεύστοις ῥαίνοντες
σήν, Πορφύριε παμμάκαρ,
μνήμην τὴν φωτολαμπῆ καὶ πάντιμον
ἀνακράζομεν φωναῖς αἰσίαις·
ἄστρον νεαυγὲς
τῆς πίστεως, σκέδασον
σκοτομήνην παθῶν
τῶν εὐφημούντων σε.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με Πορφύριον ὑμνῆσαι.

www.tezaurliturgic.ro

Λίαν καλῶς
ἐν τῷ κόσμῳ ἤνυσας,
ἡσυχίας φίλε, σὸν ἀγῶνα
καὶ κατέδειξας ἡμῖν,
Πορφύριε θεόφρον,
ὅτι ἀληθῶς
τρόπος τῆς ἀσκήσεως
καὶ οὐχὶ ὁ τόπος
ἁγιάζει ἅπαντας.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με Πορφύριον ὑμνῆσαι.

Μυροφόροι ὡς νέαι
εὐσεβῶν αἱ χορεῖαι
τὴν σὴν μνήμην, Πορφύριε θεόφρον,
μελιῤῥύτοις ᾠδαῖς
καὶ τερπνοῖς ἐφυμνίοις
ῥαίνομεν θερμῶς
κράζουσαι· ἀπέλασον
δυσωδίαν παθῶν
ἡμῶν σῇ χάριτι.

**Δόξα. Τριαδικόν.**

Τὴν ἁγίαν Τριάδα
εὐλαβῶς προσκυνοῦντες
οἱ πιστοὶ καθ' ἑκάστην
ἀνακράζομεν· Πάτερ,
σὺν τῷ θείῳ Σου Λόγῳ
καὶ τῷ Σῷ σεπτῷ
καὶ ἁγίῳ Πνεύματι
Πορφυρίου λιταῖς
σῶσον τοὺς δούλους Σου.

www.tezaurliturgic.ro

**Καὶ νῦν. Θεοτοκίον.**

Ἀγαλλίαμα θεῖον
Πορφυρίου τοῦ νέου,
Θεοτόκε Παρθένε,
μὴ παρίδῃς δεήσεις
τὰς ἡμῶν, ἀλλὰ τάχος
πρόφθασον, ἁγνή,
καὶ δεινῶν ἐκλύτρωσαι
σὲ ἀπαύστως
λαμπρῶς μεγαλύνοντας.

**Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα,**
**δόξα Σοι, ὁ Θεός. (Τρίς)**

**Δίστιχον.**
Πορφύριον ἔστεψε τοῖς ἐγκωμίων
ἀξιοχρέως ἄνθεσι Χαραλάμπης.

ΤΕΛΟΣ
ΚΑΙ ΔΟΞΑ
ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ
ΘΕΩ ΗΜΩΝ

